172. Παρ' ἠνεμόεντα Μίμαντα) Ὁ Μίμας, ὄρος Ἐρυθρῶν &c. Ità corrigo, Auctoritate MSti *Aloysiani*, quod legit imprimis, Μίμας δ' ὄρος ἐρυθρὸν ἐν Ἰωνίας, ἄντικρυς Χίου τῆ νήσῳ. Ἐρυθρὸν corrigo, in Ἐρυθρῶν, & ἐν rejicio, à *Strabone* doctus; qui Montem hunc ad *Erythras* ponit, quam & ille *Jonia* Civitatem docet, fol. 645. & *Stephanus* περὶ πόλεων, v. Ἐρυθραί. Quod olim in fine hujus *Scholii* sequebatur, Μίμαντα) Ὁ Μίμας, ὄρος ἐρυθρὸν ἀντικρὺ Χίου, nunc deleo, cùm omnem ejusdem vim in principio extractam habeas. De Gigante *Mimante*, vid. *Horat.* l. 3. Od. iv. Sed quid *Typhœus*, aut validus *Mimas* &c.

Ἐγγὺς

Ἐννύχιαι καταέγχλο· Ποσειδάωνι δὲ ταύρων
Πόλλ' ἐπὶ μήρ' ἔθεμεν, πέλαγος μέγα μετρήσαντες.
Τέτρατον ἦμαρ ἔην, ὅτ' ἐπ' Ἀργείῃ νῆας ἔεισας
Τυδείδεω ἕταροι Διομήδεος ἰπποδάμοιο
Ἕξασαν· αὐτὰρ ἔγωγε Πύλονδ' ἔχον· οὐδέ ποτ' ἔσθη
Οὖρος, ἐπειδὴ πρῶτα θεὸς παρέπεμπεν ἄπαντα.
Ὣς ἦλθον, φίλε τέκνον, ἀπευθής· οὐδέ τι οἶδα
Κείνων, οἵ τ' ἐσάωθεν Ἀχαιῶν, οἵ τ' ἀπόλοντο.
Ὅσσα δ' ἐνὶ μεγάροισι καθήμενος ἠμετέροισι
Πεύσομαι, ἢ θέμις ἐστί, δαήσεαι, οὐδέ σε κεύσω.
Εὖ μὲν Μυρμιδόνας φάσ' ἐλθέμεν ἐγχεσιμώρους,
Οὓς ἄγ' Ἀχιλλῆος μεγαθύμου φαίδιμος υἱός.
Εὖ δ' Φιλοκτήτεω, Ποιάντιον ἀγλαὸν υἱόν·
Πάντας δ' Ἰδομενῆα Κρήτηνδε εἰσήγαγ' ἑταίρους,
Οἳ φύγον ἐκ πολέμου, πόντος δέ οἱ ὕπνον ἀπούρας·
Ἀτρεΐδην δ' ἢ κ' αὐτοὶ ἀκήκοατε, νόσφιν ἐόντες,
Ὡς τ' ἦλθ', ὡς τ' Αἴγισθος ἐμήσατο λυγρὸν ὄλεθρον.
Ἀλλ' ἦτοι κεῖνος μὲν ὑπεξέφυγεν ἀπέτισεν·

" Nocturnæ deductæ sunt; Neptuno autem taurorum
" Multas coxas imposuimus, pelagus magnum emensi.
" Quartus dies erat quando in Argis naves æquales
" Tydidæ socii Diomedis bellicosi
" Constituêre: Sed ego Pylum versus cursum tenui; nec unquam defuit
" Ventus, postquam primùm deus præmittere.
" Sic veni, dilecte fili, insciusque; nec scio quicquam
" De illis, qui servati sint Achivorum, quique perierint.
" Quæcunque autem in domibus sedens nostris
" Audivi, quatenus fas est, doceberis, neque te celabo.
" Benè quidem Myrmidonas dicunt redisse hastâ exercitatos,
" Quos duxit Achillis magnanimi præclarus filius.
" Benè autem Philoctetem, Poantis illustrem filium;
" Omnes autem Idomeneus in Cretam duxit socios,
" Qui fugerunt ex bello: pontus etenim ipsi nullum abstulit.
" Atridem verò & ipsi auditis, quanquam procul sitis,
" Et quomodò venit, & quomodò Ægisthus moliturque est tristi mortem:
" Sed ille quidem etiam miserabilitèr persolvit:

ΣΧΟΛΙΑ.

178. Ἐννύχιαι.] Ἑωθιναὶ, ἀπὸ νύκτα.

179. Μετρήσαντες.] Διελθόντες, ἀφ' ἱππασίας, ἀπὸ μέτρου ἱππάσαντες.

182. Ἔσθη.] Ἐσθίσθη. ἐπαύσατο.

183. Ἄπαντα.] Πάντα.

184. Φίλε τέκνον.] Ἤτοι ὡς τὸ Σημαινόμενον ἀπέτισε φίλος· τὸ γὰρ τέκνον ἀδύνατον· ἢ ὡς τὸ συνάνυμον, τὸ παῖς. Ἀπευθής.] Μηδὲν πυνθανόμενος, ἢ ἀκήκοας.

185. Ἐσάωθεν.] Ἐσώθησαν.

187. Πεύσομαι.] Πυνθάνομαι, ἀκούω. Ἢ θέμις.] Ὡς δίκαιον, ὡς ὁ νόμος. Δαήσεαι.] Μαθήσῃ. Κεύσω.] Κρύψω.

188. Εὖ μὲν Μυρμιδόνας.] Οἱ ποιηταὶ τὴν Νεοπτόλεμον εἰς τὴν Ἤπειρον ἐλθεῖν λέγουσι.

192. Πόντος δέ οἱ ὕπνον ἀπούρας.] Οὐκ ἀπήλαυσεν ὁ πόντος πᾶς, ὅς τι ὑπὸ καπετόλιον πνεῖ.

194. Ἐμήσατο.] Διεπράξατο, εἰργάσατο.

195. Ἐπισμυγερῶς.] Ἐπιπόνως, τὸ μίτρον μετειλημμένως. Αἰολικῶς ἢ ἐστὶν, ἐπιπόνως.

NOTÆ.

179. Πόντ' ἐπὶ μήρ' ἔθεμεν) Ità *Eustath.* & *H. Steph. Florentina* verò *μηρὲ ἔθεμεν*, quam *Lectionem* sunt qui defendunt, per *συνεκφώνησιν* contrahentes Duas breves in unam longam. Verùm non modò *μηρία Homero*, sed & *μηρὰ*, ut *Odyss. ν'.* v. 27.

185. Ὅσσα δ' ἐνὶ μεγάροισι) *Ultima* ἔ ἐνὶ producitur, vi *Toni sui* & ob *μ'*. ut *β'*. v. 338.

NOTÆ IN SCHOLIA.

184. Ἀπήντησε φίλος· τὸ δὲ) Olim *ἀπήντησε· φίλος δὲ τὸ* &c. impeditissimè; quod nisi *Aloysii* MS. diremisset, ità legerem, *Φίλος δὲ ἀρσενικὸν, τὸ δὲ τέκνον οὐδέτερον.*

195. Ἐπισμυγερῶς) Ità pro *σμυγερῶς* lego, quià simplex nullo modo hic locum potest habere, & *Hesych.* Ἐπισμυγερῶς· Ἐπιπόνως. Agnosco vocem *σμυγερῶς*, aliàs occurrere; verùm in *Textu* hujus loci, nequaquam; quare neque in *Scholiis*, in quibus Verba *Textûs* repeti debent. Μετειλήφθαι lego, pro corrupto illo *μετηλλάχθαι*, *Impress.* & *μετηλεκτῆσθαι*, *Aloysian.* & *Aldin.*

VARIÆ LECTIONES.

179. Μὴρ' ἔθεμεν) *γρ. μηρὲ ἔθεμεν*, *Florentin.* vid. Not ad *Textum.*

185. Οἵ τ' ἐσάωθεν) *γρ. οἵ π σάωθεν*, MSS. *GC.* & *Aloysii*; in *Schol.* enim ibi, & in *Ald.* Σάωθεν) Ἐσώθησαν.

195. Ἐπισμυγερῶς) *γρ. ἐπὶ σμυγερῶς*, Vid. Not. in *Er. Schol.*

Ὡς ἀγαθὸν καὶ παῖδα κατακτάμενον λιπέσθαι
Ἀνδρός· ἐπεὶ καὶ κεῖνος ἐτίσατο πατροφονῆα,
Αἴγισθον δολόμητιν, ὃς οἱ πατέρα κλυτὸν ἔκτα.
Καὶ σύ, φίλος, μάλα γάρ σ' ὁρόω καλόν τε μέγαν τε,
Ἄλκιμος ἔσσ', ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ.
Τόνδ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν,
Καὶ λίην κεῖνος μὲν ἐτίσατο, καί οἱ Ἀχαιοὶ
Οἴσουσι κλέος εὐρύ, καὶ ἐσσομένοισιν ἀοιδήν.
Αἴ γὰρ ἐμοὶ τοσσήνδε θεοὶ δύναμιν περιθεῖεν
Τίσασθαι μνηστῆρας ὑπερβασίης ἀλεγεινῆς,
Οἵτε μοὶ ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται.
Ἀλλ' οὔ μοι τοῦτον ἐπέκλωσαν θεοὶ ὄλβον,
Πατρί τ' ἐμῷ καὶ ἐμοί· νῦν δὴ χρὴ πάλαμῃ ἔμπης.
Τόνδ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ,
Ὦ φίλ', ἐπειδὴ ταῦτά μ' ἀνέμνησας καὶ ἔειπες,
Φασὶ μνηστῆρας σῆς μητέρος εἵνεκα πολλὺς
Ἐν μεγάροις, ἀέκητι σέθεν, κακὰ μηχανάασθαι·
Εἰπέ μοι, ἦε ἑκὼν ὑποδάμνασαι, ἦ σέ γε λαοὶ
Ἐχθαίρουσ' ἀνὰ δῆμον, ὑποσπόμενοι θεῶν ὁμφῇ;
Τίς δ' οἶδ', εἴ κέ ποτε σφι βίας ἀποτίσεται ἐλθών,
Ἢ ὅγε μοῦνος ἐών, ἢ καὶ σύμπαντες Ἀχαιοί;
Εἰ γάρ σ' ὡς ἐθέλοι φιλέειν γλαυκῶπις Ἀθήνη,
Ὡς τότ' Ὀδυσῆϊ περικήδετο κυδαλίμοιο,

" Adeò bonum, & filium interempti relictum esse
" Viri, quoniam & ille i.e. *Orestes* ultus est patricidam
" Ægisthum dolosum, qui ejus patrem inclytum interfecerat.
" Et tu, amice, valdè enim te video bonúmque magnúmque,
" Fortis esto; ut aliquis tibi, & posterorum benè dicat.
Hunc rursus Telemachus prudens contra alloquutus est,
" O Nestor Neleiade, magna gloria Græcorum,
" Et jure ille quidem ultus est, & ei Græci
" Deferent gloriam latam, & posteris præconium.
" Utinam enim mihi tantam dii vim dedissent
" Ulciscì procos injuriæ molestæ *causa*,
" Qui me contumeliâ afficientes nefanda moliuntur.
" Sed neutiquam mihi hujusmodi destinârunt dii honorem,
" Patríque meo & mihi; nunc igitur opus est pati nihilo secius.
Hunc excepit verbis Gerenius eques Nestor,
" O amice, quandoquidem de his me admones & loquutus es,
" Ferunt procos, tuam matrem propter, multos
" Domi, te invito, mala machinari.
" Dic mihi, an lubens victus es, an te cives
" Odio habent publicè, sequentes dei impulsum?
" Quis novit, an aliquando ipsorum violentiam puniet, quando venerit,
" Sive ille solus, sive universi Achivi?
" Si enim te sic vellet amare cæsia Minerva,
" Quemadmodum Ulyssis quondam supra-modum curam habuit glorioſi

ΣΧΟΛΙΑ.

196. Καταφθιμένοιο.] Ἀποθανόντος. Λιπέσθαι.] Καταλειφθῆναι.
205. Αἴ γὰρ ἐμοί.] Εἴθε γὰρ ἐμοί.
206. Ὑπερβασίης.] Ὑπερηφανίας.
208. Ἐπέκλωσαν.] Εἱμαρμένον γενέσθαι ἐποίησαν. Ὄλβον.] Εὐδαιμονίαν.
209. Τετλάμεν.] Καρτερεῖν.
213. Μηχανάασθαι.] Ἐπινοεῖν.
214. Ὑποδάμνασαι.] Ὑποτάξαι.
215. Ἐχθαίρουσι.] Μισοῦσιν. Ἐπισπόμενοι.] Ἀκολουθοῦντες καὶ πειθόμενοι. Ὁμφῇ.] Χρησμῷ, κληδόνι, μαντείᾳ.

NOTÆ.

196. Ὡς ἀγαθὸν καὶ παῖδα κατακτάμενον λιπέσθαι) Hunc locum egregiè ornat Ælian. Hist. Animal. l. 4. c. 45. De *Leone*, socii sui *Canis* necem, ab *Urso* vindicante.
198. Αἴγισθον δολόμητιν) Hic *Dolus malus* damnatur. Vid. ad v. 121.

VARIÆ LECTIONES.

204. Ἐσσομένοισιν ἀοιδήν) γρ. ἐσσομένοισι πυθέσθαι. *H. Steph.*
211. Ἔειπες) γρ. ἔειπας, *H. Steph.*
219. Περικήδετο) γρ. πείρι κήδε.

Δήμῳ

Δήμῳ ἔπι Τρώων, ὅθι πάσχομεν ἄλγε' Ἀχαιοί·
Οὐ γάρ πω ἴδον ὧδε θεὸς ἀναφανδὰ φιλεῦντας,
Ὡς κείνῳ ἀναφανδὰ παρίστατο Παλλὰς Ἀθήνη·
Εἰ σ' ὕπως ἐθέλοι φιλέειν, κήδοιτό τε θυμῷ,
Τῷ κέν τις κείνων γε καὶ ἐκλελάθοιτο γάμοιο.
Τόνδ' αὖτε Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Ὦ γέρον, ὔπτω τοῦτο ἔπος τελέεσθαι οἴω·
Λίην γὰρ μέγα εἶπες· ἄγαν μ' ἔχει· οὐκ ἂν ἔμοιγε
Ἐλπομένῳ τὰ γένοιτ', οὐδ' εἰ θεοὶ ὣς ἐθέλοιεν.
Τόνδ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη,
Τηλέμαχος, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;
Ῥεῖα θεὸς γ' ἐθέλων καὶ τηλόθεν ἄνδρα σαῶσαι.
Βουλοίμην δ' ἂν ἔγωγε καὶ ἄλγεα πολλὰ μογήσας,
Οἴκαδέ τ' ἐλθέμεναι καὶ νόστιμον ἦμαρ ἰδέσθαι,
Ἢ ἐλθὼν ἀπολέσθαι ἐφέστιον, ὡς Ἀγαμέμνων
Ὤλετ', ὑπ' Αἰγίσθοιο δόλῳ καὶ ἧς ἀλόχοιο.
Ἀλλ' ἦτοι θάνατον μὲν ὁμοίιον οὐδὲ θεοί περ
Καὶ φίλῳ ἀνδρὶ δύνανται ἀλαλκέμεν· ὁππότε κέν δὴ
Μοῖρ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο.
Τόνδ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Μέντορ, μηκέτι ταῦτα λεγώμεθα, κηδόμενοί περ.
Κείνῳ δ' οὐκ ἔτι νόστος ἐτήτυμος, ἀλλά οἱ ἤδη
Φράσαντ' ἀθάνατοι θάνατον καὶ κῆρα μέλαιναν.
Νῦν δ' ἐθέλω ἔπος ἄλλο μεταλλῆσαι καὶ ἐρέσθαι
Νέστορ'· ἐπεὶ περὶοιδε δίκας ἠδὲ φρόνιν ἄλλων·
Τεὶς γὰρ δὴ μιν φασὶν ἀνάξασθαι γενεὰ ἀνδρῶν·

" Populo in Troianorum, ubi passi sumus dolores Græci:
" Non enim unquam vidi usque adeò deos manifestè amantes,
" Quemadmodum illi manifestè astitit Pallas Minerva;
" Si te, *inquam*, adeò vellet amare, curaréque in animo,
" Sanè quispiam illorum utique oblivisceretur nuptiarum.
Hunc rursus Telemachus prudens contra alloquutus est,
" O senex, nondum hunc sermonem perfectum iri existimo:
" Supra modum enim magna dixisti, stupor me tenet; non utique mihi
" Speranti ea contingerent; neque si dii sic velient.
Hunc rursus alloquebatur dea cæsia Minerva,
" Telemache, quod tibi dictum effugit septum dentium?
" Facile Deus sanè, si voluerit, etiam ex longinquo virum servaverit.
" Mallem verò ego etiam dolores multos passus
" Domum redire, & reditûs diem videre,
" Potiùs quàm veniens perire in propriâ domo; veluti Agamemnon
" Periit, ab Ægisthi fraude & suæ uxoris.
" Verum enimverò mortem omnibus communem, neque dii ipsi
" Etiam ab amato viro volunt arcere, quandocunque tandem
" Fatum pernitiosum corripuerit asperæ mortis.
Hunc rursus Telemachus prudens contrà alloquutus est,
" Mentor, nè amplius hæc differamus, tristes licet:
" Illi verò non ampliùs reditus certus; sed ei jam
" Destinârunt immortales mortem & fatum nigrum.
" Nunc verò volo aliud inquirere & interrogare
" Nestorem, quoniam præ *aliis* novit jura & prudentiam:
" Ter enim ipsum dicunt imperâsse facultis virorum,

ΣΧΟΛΙΑ.

221. Ἀναφανδά.] Ἐκ τῆ φανερῆ, φανερῶς. Φιλοῦντας.] Φιλοῦντας.
223. Κήδοιτο.] Φροντίζοι.
224. Ἐκλελάθοιτο.] Ἐπιλαθοίτο.
231. Σαώσαι.] Σῶσαι, ἀντὶ τῆ σώσῃ.
234. Ἐφέστιος.] Ἐπὶ ἑαυτῷ ἑστίας, εἰς τὴν ἰδίαν οἰκίαν.
235. Ὁμοίιον.] Τὸν ὁμοίως ἐπὶ πάντας καὶ φύσιν ἐρχόμενον.
238. Μοῖρα.] Θεσπιζικὴ ἀνάγκη.
240. Λεγώμεθα.] Διαλεγώμεθα. Κηδόμενοί περ.] Καίτοι λυπούμενοι.
241. Ἐτήτυμος.] Ἀληθής.
242. Φράσαντο.] Ἐβουλεύσαντο.
244. Δίκας.] Δίκαια, καθηγεῖται. Φρόνιν.] Φρόνησιν.
245. Ἀνάξασθαι.] Βασιλεῦσαι.

VARIÆ LECTIONES.

223. Οὕτως ἐθέλοι) κ. ὕπως γ' ἐθέλοι malè; ὕπω γ' ἐθέλοι, melius.
227. Οὐκ) κ. οὐδ', *H. Steph.*
230. Τηλέμαχε) κ. Τηλέμαχε, malè.
240. Λεγώμεθα) κ. λεγώμεθα, *H. Steph.* & MS. GC. & *Aldin.* Schol. & Text. & melior *Lectio.*

Ὥς τε μοὶ ἀθανάτοις ἰνδάλλεσθ' εἰσορόωσιν.
Ὦ Νέστορ Νηληϊάδη, σὺ δ' ἀληθὲς ἔνισπε,
Πῶς ἔθανε Ἀτρεΐδης εὐρυκρείων Ἀγαμέμνων;
Πῇ Μενέλαος ἔλιπε; πίνα δ' αὐτῷ μήσατ' ὄλεθρον
Αἴγισθος δολόμητις; ἐπεὶ κτάνε πολλὸν ἀρείω.
Ἦ οὐκ Ἄργεϊ ἦεν Ἀχαιϊκῷ, ἀλλά πη ἄλλῃ
Πλάζετ' ἐπ' ἀνθρώπους, ὁ δ', θαρσήσας κατέπεφνε;
Τόνδ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ,
Τοίγαρ ἐγώ τοι, τέκνον, ἀληθέα πάντ' ἀγορεύω.
Ἦτοι μὲν τόδε κ' αὐτὸς ὀΐεαι, ὡς κεν ἐτύχθη·
Εἰ ζώοντ' Αἴγισθον ἐνὶ μεγάροισιν ἔπετμεν
Ἀτρεΐδης, Τροίηθεν ἰὼν, ξανθὸς Μενέλαος·
Τῷ κέ οἱ οὐδὲ θανόντι χυτλὸν ἐπὶ γαῖαν ἔχυσαν,
Ἀλλ' ἄρα τόν γε κύνες τε καὶ οἰωνοὶ κατέδαψαν
Κείμενον ἐν πεδίῳ ἑκὰς ἄστεος· οὐδέ κε τίς μιν
Κλαῦσεν Ἀχαιϊάδων· μάλα γὰρ μέγα μήσατο ἔργον.
Ἡμεῖς μὲν γὰρ κεῖθι πολέας τελέσσαμεν ἄεθλους
Ἤματα· ὁ δ' εὐκηλεῖ μυχῷ Ἄργεος ἱπποβότοιο
Πόλλ' Ἀγαμεμνονίῃ ἄλοχον θέλγεσκε ἐπέεσσιν,
Ἤθ' ἤτοι τοπρὶν μὲν ἀναίνετο ἔργον ἀεικὲς
Δῖα Κλυταιμήστρη, φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσι·

" Atque mihi immortalibus æquiparatur aſpectu.
" O Neſtor Neleida, tu verò verum dic,
" Quomodo mortuus eſt Atrides latè imperans Agamemnon?
" Ubi Menelaus erat? Quam illi machinatus eſt mortem
" Ægiſthus doloſus? Quoniam occidit ſe multò præſtantiorem.
" Annon in Argo erat Achaico *Menelaus?* An alicubi alibi
" Errabat apud homines, ille verò ſumpto animo interfecit?
Huic reſpondit deinde Gerenius equeſtris Neſtor,
" Profectò ego tibi, fili, vera omnia dicam:
" Enimverò quidem hoc ipſe ſuſpicaris, quemadmodum reverà accidit:
" Si viventem Ægiſthum in ædibus inveniſſet
" Atrides, à Trojâ profectus, flavus Menelaus;
" Sanè ei néque mortuo fuſilem terram infudiſſet,
" Sed certè canèſque & aves comediſſent
" Jacentem in campo procul ab urbe; neque ulla ipſum
" Deploràſſet Achivarum: valdè enim ingens admiſit facinus.
" Nos quidem illic *in Trojâ* multa obeuntes certamina,
" Aſſidebamus; ille interim deſidioſus in ſeceſſu Argi equos-paſcentis
" Multùm Agamemnoniam uxorem demulſit verbis:
" Ipſa quidem anteà certè abnuebat facinus indignum
" Diva Clytemneſtra; mente enim utebatur bonâ;

ΣΧΟΛΙΑ.

246. Ἰνδάλλεσθ'.] Ὁμοιοῦται, φαίνεσθ'. φαντασιοῦσθ'. Εἰσορόωσιν.] Ὁρᾷν, ἀντὶ τοῦ ὁρῶντι, βλέποντι.
249. Μήσατο.] Εἰργάσατο, ἐπιχείρησε.
250. Δολόμητις.] Δόλια βεβουλευμένος. Κτάνε.] Ἀπέκτεινε, ἐφόνευσεν. Ἀρείω.] Βελτίονα.
251. Ἦ οὐκ Ἄργεϊ ἦεν Ἀχαιϊκῷ.] Ἄρα οὐκ ἐν τῷ Ἄργει ἦν τὸ Ἀχαϊκόν;
252. Κατέπεφνεν.] Ἀνεῖλεν.
254. Ἀγορεύω.] Λέξω, εἴπω.
256. Ἔπτμεν.] Κατέλαβεν.
257. Τροίηθεν.] Ἀπὸ τῆς Τροίας.
258. Χυτλὸν.] Τὸ ἐπιχεόμενον τοῖς νεκροῖς γῆν.
259. Οἰωνοί.] Σαρκοφάγοι ὄρνιθες. Κατέδαψαν.] Κατέφαγον.
261. Μέγα μήσατο ἔργον.] Νῦν μέγα καὶ χαλεπὸν ἐβουλεύσατο· ὃ ἐστιν ἔργον χαλεπὸν ἐμηχανήσατο.
262. Τελέσσαμεν.] Ἐκτελέσαμεν.
263. Μυχῷ Ἄργεος.] Τῷ ἐσωτάτῳ μέρει τοῦ Ἄργους.
264. Θέλγεσκε.] Ἠπάτα.
265. Ἔργον ἀεικές.] Τὸ μοιχείαν.
266. Δῖα Κλυταιμήστρη.] Δῖα, εὐγενὴς, ἐκ τοῦ μεγαλοῦσθαι. Φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσι.] Φρεσὶν ἀγαθαῖς.

NOTÆ.

246. Ὥστε μοὶ ἀθανάτοις ἰνδάλλεσθαι) Κατ' ἐκεῖνο δ' Θάλητος, Πρεσβύτερον τὸ ὄντως Θεὸς ἀγέννητον γάρ. *Diog. Laert.* l. 1. §. 35.
251. Ἦ οὐκ Ἄργεϊ ἦεν Ἀχαιϊκῷ) Ἦ οὐκ ἦν ἐν τῇ Λακωνικῇ; Οὐ μόνον γὰρ Ἄργος, ἡ Πελοπόννησος, ἀλλὰ ἰδίως ἡ Λακωνικὴ, Ἄργος καλεῖται. *Euſtath.* fol. 220. lin. 16. Vid. *Nicolaum Cragium*, De *Lacedæm.* Republ. l. 1. c. 1. & *Straben.* Geograph. l. 8. fol. 365. & 369. De voce Ἀχαιϊκὸν, vid. ad *Iliad.* ε'. v. 141.

NOTÆ IN SCHOLIA.

249. Μήσατο) Emendo tantùm & lego ἐπιχείρησε, pro ἐπιχείσαθε &c.
251. Ἀχαιΐας) Ità ſcribo & emendo pro corrupto Ἀχαιϊκῆς, ex MSto *Aloyſii.*

VARIÆ LECTIONES.

251. Ἦ) γρ. ἤ. Ἀχαιϊκῷ) γρ. Ἀχαϊκὲ, *Euſtath.* fol. 1465. lin. 61. omittit *H. Steph.*
260. Ἄστεος) γρ. Ἄργεος, *H Steph.*
266. Κέχρηθ') γρ. κέχρηθε. *Euſtath.* fol. 1466. l. 36.

Πὰρ

Πὰρ γὰρ ἕλω ϗ ἀοιδὸς ἀνὴρ, ᾧ πολλ' ἐπέτελλεν
Ἀτρεΐδης, Τροίηνδε νεὼν, εἴξυθαι ἄκοιτιν.
Ἀλλ' ὅτε δή μιν μοῖρα θεῶν ἐπέδησε δαμῆναι,
Δὴ τότε τὸν μὲν ἀοιδὸν ἄγων ἐς νῆσον ἐρήμην,
Κάλλιπεν οἰωνοῖσιν ἔλωρ ϗ κῦρμα γενέσθαι·
Τὴν δ' ἐθέλων ἐθέλουσαν ἀνήγαγεν ὅνδε δόμονδε.
Πολλὰ δ' μετ' ἔκηε θεῶν ἱεροῖς ἐπὶ βωμοῖς,
Πολλὰ δ' ἀγάλματ' ἀνῆφεν, ὑφάσματά τε, χρυσόν τε,
Ἐκτελέσας μέγα ἔργον, ὃ ἤπτετο θυμῷ.
Ἡμεῖς μὲν γὰρ ἅμα πλέομεν Τροίηθεν ἰόντες,
Ἀτρεΐδης ϗ ἐγὼ, φίλα εἰδότες ἀλλήλοισιν·
Ἀλλ' ὅτε Σούνιον ἱερὸν ἀφικόμεθ', ἄκρον Ἀθηνῶν,
Ἔνθα κυβερνήτην Μενελάου Φοῖβος Ἀπόλλων
Οἷς ἀγανοῖς βελέεσσιν ἐπιχόμενος κατέπεφνε,
Πηδάλιον μὲν χερσὶ θεοπρεπὲς νηὸς ἔχοντα,
Φρόντιν Ὀνητορίδην, ὃς ἁπάντων φῦλ' ἀνθρώπων
Νῆα κυβερνῆσαι, ὁπότε σπέρχοιεν ἄελλαι.

" Etenim aderat cantor vir, cui plurimùm mandârat
" Atrides, ad Trojam profecturus, servare uxorem.
" Sed cùm jam ipsam fatum deorum irretivit *ad hoc*, *ut* domaretur,
" Jam tum ipsum cantorem ducens in insulam desertam,
" Dereliquit avibus lanienam & prædam fieri;
" Ipsam verò volens volentem duxit suam in domum.
" Multa autem fœmora adolebat deorum super sacra altaria;
" Multáque Donaria suspendit, vestésque, aurúmque,
" Quòd perfecisset magnum negocium, quod nunquam sperâsset in animo.
" Nos quidem simul navigabamus Trojâ profecti,
" Atrides *Menelaus* & ego, amica cognoscentes invicem:
" Sed cùm ad Sunium sacrum pervenimus, promontorium Athenarum,
" Illic gubernatorem Menelai Phœbus Apollo
" Suis suavibus telis superveniens occidit,
" Clavum in manibus currentis navis gestantem,
" Phrontin Onetoridem; qui vincebat secula hominum
" In nave gubernandâ, quoties ingruebat procella.

ΣΧΟΛΙΑ.

267. Πὰρ ϗ ἕλω ϗ ἀοιδὸς.] Συμπαρῆν ἡ αὐτῇ καὶ ἀοιδὸς· τὸ ϗ ἀρχαῖον, οἱ ἀοιδοὶ φιλοσόφων πλεῖν ἐπῆρχον. Τινὲς δὲ, κακῶς νοήσαντες, τὸ σὺν ἔσχον ἀπέδοσαν.

268. Εἴρυσθαι.] Φυλάττειν.

271. Κῦρμα.] Ἐγκόρημα, ἐπίτδειγμα.

273. Ἔκηε.] Ἔκαυσεν.

274. Ἀγάλματα.] Ἀναθήματα. Ἀνῆφεν.] Ἀνέθηκεν. Ὑφάσματα.] Ἱμάτια ὑφαντά.

275. Ἤλπετο.] Ἤλπιζεν.

278. Σούνιον.] Ἀκρωτήριον τῆς Ἀττικῆς. Ἱερὸν.] Ἱερὸν, τίμιον. Ἀφικόμεθα.] Παρεγενόμεθα. Ἄκρον Ἀθηνῶν.] Ἀπὸ τῆς πόλεως τῶν Ἀττικῶν εἴρηκεν.

282. Φρόντιν Ὀνητορίδην.] Παρὰ τὸ φροντίζειν ϗ ὄνησιν εἶναι, πίπλακε τὸ ὀνόμαζε. Ἐκαίνυτο.] Ἐνίκα. κυρίως δὲ τὸ καίνυσθαι, τὸ κτείνεσθαι νικῆσαι· καίνειν γὰρ τὸ φονεύειν ἐστί. τὸ δὲ ἐπέρχειν, ἀντὶ τοῦ κατασείειν.

NOTÆ.

267. Πὰρ γὰρ ἕλω νὴ ἀοιδὸς) *Strabo*, l. 1. fol. 16. νὴ Ὅμηρος δὲ τὸν ἀοιδὸν σαφηνιστὴς εἴρηκεν, καθάπερ τὸν τῆς Κλυταιμνήστρας φύλακα, κλ. *Athenæ.* l. 1. fol. 14. Σάφες δὲ ποιῆσαι τὸ τῶν ἀοιδῶν γένος ϗ φιλοσόφων ἀφῆσαι ἐπεῖχον. Vid. *Gisberti Cuperi* Apotheosin *Homeri*, p. 115. *Eustath.* fol. 1466. *Walæum* in Act. c. 8. v. 27. De Eunucho *Candaces*. Confer *Br. Schol.*

279. Ἔνθα κυβερνήτην) Qui suâ morte *Viri* cadebant, præsertim si inexpectatò, aut repentè, ab *Apolline* sagittis petiti dicebantur; *Mulieres*, à *Dianâ*. Etiam, qui non morbo, sed ætate; ut *Odyss. ε'.* v. 408. Etiam, de Fœminâ, in Navigatione subitò morientè, *ibid.* v. 477. *Eustath.* fol. 637. lin. 14. Ὅτι ὃ τῇ Ἀρτέμιδι, τυτθὸν τῇ σελήνῃ, τὰς αἰφνιδίως θνήσκουσας τῶν γυναικῶν ἀναπηδᾶσιν ἡ Ἑλληνικὴ δόξα· ὥσπερ ὁ Ἀπόλλων, ἥλιος, ἀπὸ λόγου τοῦ αὐφνης θνήσκειν τοὺς ἄνδρας. Vid. etiam fol. 1467. lin. 152. Vid. *Turnebi* Adversar. l. xi. c. viii. fol. 246. lin. 159. & *Everhardi Feithii*, Antiqu. *Homeric.* l. 1. c. 2. *Isaac. Casaubon.* Lection. *Theocrit.* c. x. in ipso Fine.

NOTÆ IN SCHOLIA.

267. Πὰρ ϗ ἕλω νὴ ἀοιδὸς) MSS. ᾠδὸς, & ᾠδοὶ legunt, in *Scholio*.

274. Quæ inter Ἀγάλματα & Ὑφάσματα, pono, id Duorum MSS. facio auctoritate.

282. Pro τὸν κλείναντα, Lego eadem auctoritate, τὸ κλείναντα νικῆσαι, ut τὸ referatur ad νικῆσαι.

VARIÆ LECTIONES.

275. Ἤλπετο) γρ. ἵλπετο, *Br. Schol.* Verùm ἵλπετο sonantius, & ferè in *Iliade* occurrit.

280. Ἀγανοῖς βελέεσσιν) γρ. ἀγανὸν βέλεσσι, *H. Steph.* & alii Codd. verùm *Iliad. α'.* v. 759. ut hîc Nos.

283. Σπέρχοιεν) γρ σπέρχωσι, *H. Steph.*

Ὡς ὁ μὲν ἔνθα κατέσχεθ', ἑπειγόμενός περ ὁδοῖο,
Ὄφρ' ἕταρον θάπτοι, καὶ ἐπὶ κτέρεα κτερείσειεν.
Ἀλλ' ὅτε δὴ καὶ κεῖνος, ἰὼν ἐπὶ οἶνοπα πόντον
Ἐν νηυσὶ γλαφυρῇσι, Μαλειάων ὄρος αἰπὺ
Ἵξε θεῶν, τότε δὴ φυγέμεν εὐρὺν ὀπωπὴν
Ἐφράσατο, λιγέων δ' ἀνέμων ἐπ' ἀϋτμένα χεῦε,
Κύματά τε τροφόεντα, πελώρια, ἶσα ὄρεσσιν·
Ἔνθα διατμήξας, τὰς μὲν Κρήτῃ ἐπέλασσεν,
Ἧχι Κύδωνες ἔναιον, Ἰαρδάνῳ ἀμφὶ ῥέεθρα.
Ἔστι δέ τις λιστὴ, αἰπεῖά τε εἰς ἅλα πέτρη,
Ἐσχατιὴ Γόρτυνος, ὁ νηρηϊδῖ πόντῳ·
Ἔνθα Νότος μέγα κῦμα ποτὶ σκαιὸν ῥίον ὠθεῖ
Ἐς Φαιστόν· μικρὸς δὲ λίθος μέγα κῦμ' ἀποέργει.
Αἱ μὲν ἄρ' ἔνθ' ἦλθον, σπυδῇ δ' ἤλυξαν ὄλεθρον
Ἄνδρες, ἀταρ νῆάς γε ποτὶ σπιλάδεσσιν ἔαξαν
Κύματ'· ἀταρ τὰς πέντε νέας κυανοπρῳρείδας

" Sic ille quidem ille detentus eſt, feſtinabundus licet ad iter,
" Ut ſocium ſepeliret, & parentalia parentaret.
" Sed quando utique & ille vadens in obſcurum pontum
" In navibus cavis, Malearum montem excelſum
" Pervenit currendo, tum certè inviſum iter lato conſpectu Jupiter
" Decrevit: ſtridulorumque ventorum flatum effudit,
" Fluctuſque intumeſcebant ingentes, æquales montibus.
" Illic ſejungens *Jupiter* claſſem, has quidem *Naves* Cretæ admovit;
" Ubi Cydones habitabant, Jardani circa fluenta.
" Eſt autem quædam levis, præruptáque in mare petra,
" Ad fines Gortynis, in obſcuro ponto:
" Huc Auſter ingentem fluctum ad ſiniſtrum promontorium pellit
" Ad Phæſtum: parvulus autem lapis ingentem fluctum impedit.
" Illi quidem huc venerunt: vix autem effugerunt mortem
" Viri: cæterùm naves ſanè ad ſaxa fregerunt
" Fluctus: cæterùm quinque naves cæruleis-proris

ΣΧΟΛΙΑ.

284. Κατίσχετο.] Ἐν λιβῒ κατεχέθη.

285. Κτερείσειεν.] Ἐνταφιάσῃ.

277. Μαλειάων ὄρος.] Τὸ Μαλέαν λέγει, τὸ ἀκρωτήριον τῆς Λακωνικῆς.

289. Ἐφράσατο.] Ἐβουλεύσατο. Αὐτμένα.] Ἀρρενικῶς τὸν αὐτμόν, ἀπὸ ὀρθῆς, ὃ αὐτμὸς αὐτμὴν ἦν, ἡ παρὰ τὸ σφοδρόν. Χεῦε.] Ἔβαλεν.

290. Τροφόεντα.] Ηὐξάνοντα. Πελώρια.] Μεγάλα.

292. Κύδωνες.] Ἔθνος Κρήτης, ἀφ' οὗ Κυδωνία, πόλις Κρήτης, πορθμὸν ἔχουσα Ἰαρδάνιον.

293. Ἔστι δέ τις Λιστή.] Λεῖα πέτρα· ἢ καθὰ μεταθασμὸν, εἶπεν τὸν νῦν καλούμενον παρὰ τοῖς Κρησὶ, σὺν τῷ β'. Βλίστη. ἔστι δὲ ἀκρωτήριον τῆς Γορτυνίας· ὅθεν Κρῆτης, σὺν τῷ ι', γράφει Λιστίη.

294. Ἐσχατιὴ.] Ἐπὶ τοῖς ἐσχάτοις.

295. Σκαιὸν.] Δεινὸν, χαλεπόν.

296. Φαιστόν.] Ἀκρωτήριον τῆς Γορτύνης, ἀπὸ μὲν τῶν ἄλλων μερῶν λίαν ἐπικλυζόμενον, ὡς εἰ βραχεῖά τις αὐτῇ γίνηται· ἀπὸ δὲ μεσημβρίας ὃ ὅλως, καὶ τε δὴ τότε μίγνυται ἐγείρουσι κύματα· ἀφ' ὃ τὸ, καὶ τῶν τὸ μὲν ἀναπήσας εἰς θάλασσαν πέτρας ἐφεράσσεσθαι τε κύματα. τινὲς δὲ τῶν Φαιστὸν, πόλιν τῆς Κρήτης λέγουσιν, ὅπερ ἐχρῶντο Ἐπιμενίδης. Μικρὸς δὲ λίθος μέγα κῦμ' ἀποέργει.] Τὸ δὲ ὑπὸ δέ ποτε κῦμα τῶν Φαιστὸν ἐν ἐποίει ἀλίμενον, εἰ μὴ ἀνακείμενος ὁ λίθος ἐκώλυεν εἰσὸς μέγα γίνεσθαι κῦμα ἀναχαζομένων ἐξ αὐτὸν τὸ κυμάτων· γράφεται δὲ, Μαλέης ὃ λίθος. Μάλεσον γὰρ ὀνομάζεται ἀφ' ὃ Φαιστίων λιμένος ἀκρωτήριον. Ἀποέργει] Ἀποκωλύει.

297. Ἤλυξαν.] Ἐξέφυγον.

298. Σπιλάδεσσι.] Παρὰ λίθοις πέτραις, παρὰ τὸ ἐσπιλῶσθαι· ἢ παῖς καθὰ θάλασσαν ἀναπεληθείσας ὑπὸ ὀλίγῳ ὕδατι. Ἔαξαν.] Ἔκλασαν.

NOTÆ.

290. Κύματά τε τροφόεντα) Vid. ad *Varias Lectiones.*

Ibid. Ἴσα ὄρεσσιν) Hinc *Virgil.* Æn. l. 1. v. 109. —præruptus aquæ Mons.

NOTÆ IN SCHOLIA.

290. Τροφόεντα) Ηὐξάνοντα. Ità Duo MSS. *Aldus*, & Codex *Hervag.* quare procul ablego Codd. *Impreſſorum* delirium, τροφόεντα) ηὐξάνοντα, quod evidenter corruptum, pro noſtrâ *Lectione*, aliàs enim αὐξάνεται ſcriberetur. Vid. *Var. Lection.*

296. Ἄλλων μερῶν, pro πολλῶν κυμάτων, lego, ex *Euſtathio* fol. 1469. lin. 13.

VARIÆ LECTIONES.

289. Ἐπ' αὐτμένα χεῦε) γρ. ἐπ' αὐτμένα χεύας, *H. Steph.*

290. Τροφόεντα) γρ. τροφόεντα, *H. Steph.* Τροφόεσσα, MSS. *GC. Aloyſiuſque*, *Aldus*, & *Hervag. Br. Schol.* quæ *Lectio* videtur hîc proba & ſana; at in *Iliad.* ο'. v. 621. Τροφόεντα, vel τροφόεντα omnino legendum.

295. Ποτὶ] γρ. πρὸς *H. Steph.*

296. Μικρὸς δὲ λίθος) γρ. Μαλέης ὃ λίθος, *Br. Schol.*

Αἰγύπτῳ ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ.
Ὡς ὁ μὲν ἔνθα πολὺν βίοτον καὶ χρυσὸν ἀγείρων,
Ἠλᾶτο ξὺν νηυσὶν ἐπ' ἀλλοθρόους ἀνθρώπους.
Τόφρα δὴ ταῦτ' Αἴγισθος ἐμήσατο οἴκοθι λυγρά,
Κτείνας Ἀτρεΐδην· δέδμητο δὲ λαὸς ὑπ' αὐτῷ.
Ἑπτάετες δ' ἤνασσε πολυχρύσοιο Μυκήνης·
Τῷ δέ οἱ ὀγδοάτῳ κακὸν ἦλυθε δῖος Ὀρέστης
Ἂψ ἀπ' Ἀθηνάων, κτεῖνε δ' ἔκτανε παλλοφόνηα,
Αἴγισθον δολόμητιν, ὃς οἱ πατέρα κλυτὸν ἔκτα.
Ἤτοι ὁ τὸν κλείνας δαίνυ τάφον Ἀργείοισιν
Μητρός τε στυγερῆς καὶ ἀνάλκιδος Αἰγίσθοιο·
Αὐτῆμαρ δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος,
Πολλὰ κτήματ' ἄγων, ὅσα οἱ νέες ἄχθος ἄειραν.
Καὶ σύ, φίλος, μὴ δηθὰ δόμων ἄπο τῆλ' ἀλάλησο,
Κτήματά τε προλιπών, ἄνδρας τ' ἐν σοῖσι δόμοισιν
Οὕτω ὑφορμαίνῃς· μή τοι κατὰ πάντα φάγωσι
Κτήματα δασσάμενοι, σὺ δὲ τηυσίλιον ὁδὸν ἔλθῃς.
Ἀλλ' ἴθι μὲν Μενέλαον ἐγὼ κέλομαί τε καὶ ὀτρύνω
Ἐλθεῖν· κεῖνος γὰρ νέον ἄλλοθεν εἰλήλουθεν
Ἐκ τῶν ἀνθρώπων, οὕθεν κ' ἔλπoιτό γε θυμῷ
Ἐλθέμεν, οὔτινα πρῶτον ἀποσφήλωσιν ἄελλαι
Ἐς πέλαγος μέγα τοῖον· ὅθεν τέ θ' ὑπ' οἰωνοὶ
Αὐτόετες οἰχνεῦσιν, ἐπεὶ μέγα τέ, δεινόν τε.

" Ægypto admovit ferens ventusque & unda.
" Sic ille quidem illic plurimum vi-ctum & aurum congregans,
" Errabat cum navibus ad alterius-linguæ homines.
" Interea verò illa Ægisthus molitus est domi tristia,
" Occidens Atridem: subactus est etiam populus sub illo.
" Septennio itaque imperavit divitibus Mycenis:
" Illi verò octavo in anno malum & *vindex* venit divus Orestes
" Rursus ab Athenis: occidit autem patris interfectorem,
" Ægisthum dolosum, qui illi patrem *inclytum* interfecerat.
" Sanè hic cùm hunc occidit, dedit cœnam-sepulchralem Argivis
" Matrisque invisæ & imbecillis Ægisthi:
" Eopse verò die supervenit bello bonus Menelaus,
" Plurima dona ducens, quanta illius naves ob pondus portare-poterant.
" At tu, amice, nè diutius à domo longè aberres,
" Bonisque relictis virisque in tuis ædibus
" Adeò superbis; nè tibi omnia absumant,
" Facultatibus divisis, tu verò inaniter faceris.
" Sed ad Menelaum quidem ego adhortor & consulo
" Proficisci; ille enim nupèr alicundè venit
" Ex illis hominibus, undè non speraret in animo
" Redire, quemcunque primùm abegerint procellæ
" In pelagus tam vastum: unde utique nec aves
" Intra annum venire possunt, quoniam ingens, horrendumque.

ΣΧΟΛΙΑ.

302. Ἠλᾶτο.] Ἐπλανᾶτο.
304. Δέδμητο.] Ὑπετέτακτο.
307. Ἂψ ἀπ' Ἀθηναίων.] Ὅπως ἐπαιδεύετο.
309. Τόν.] Τοῦτον τὸν Αἴγισθον. Δαίνυ.] Κατεκόσμει.
310. Μητρός τε στυγερῆς.] Φείδεται λέγων τούτων Ὀρέστου· τὸ μὲν γὰρ εὐφημότερον ἐποίησεν, ὅτι ἔθαψε τὸν μητρῷα, τὸ δὲ θαλάσσιον παρεσιώπησεν. Ἀνάλκιδος.] Ἀδυνάτου.
312. Ἄειραν.] Ἐβάστασαν.
313. Ἀλάλησο.] Πλανῶ.
314 Προλιπών.] Καταλιπών.
316. Τηυσίλιον.] Μακρὰν.
318. Εἰλήλουθεν.] Ἦλθεν.
319. Ἐκ τῶν.] Ἐξ ἀνθρώπων. Ἔλπoιτο.] Ἤλπισεν.
320. Ἀποσφήλωσιν.] Ἀποκρούσωσιν καὶ ἀποσφαλῶσι ποιήσωσιν.
322. Αὐτόετες.] Ἐν αὐτῷ τῷ ἔτει. Οἰχνεῦσι.] Παραχίνονται.

NOTÆ.

308. Ὅς οἱ) Ità lego, pro ὅ οἱ. ut aliàs in eodem versu, α'. v. 300. & suprà, v. 198. etiam in aliis Editt. *Florent. Steph. Hervag. Castell. Canzab.* priori; quare & restituo, ut *Aldina*, quanquam & aliàs ὁ, pro ὃς habet.

316. Τηυσίλιον ὁδὸν ἔλθῃς) Vid. *Meric. Casaubon.* De nuperâ *Homeri* Editione, §. 1. p. 47, 48. Rectè *Br. Schol.* per μακραίαν reddunt; cum ad *Tobiæ Hebr.* referatur.

322. Αὐτόετες οἰχνεῦσιν· ἐπὶ μίζα τὸ δεινόν τε) *Ultima*, & αὐτόετες producitur, in *Casaubonâ*, vi *Finalis* & *Toni*; ut τὸ etiam ante δεινὸν, ob δ'. ἐκλελυκὸς, ut α'. v. 203.

VARIÆ LECTIONES.

302. Νηυσὶν ἐπ') γρ. νηυσὶ κατ', *H. Steph.*
307. Ἂψ ἀπ' Ἀθηναίων) γρ. αἶψ' ἀπ' Ἀθηνάων, *H. Steph.* & ἂψ ἀπὸ Φωκήων, *Eustath.* fol. 1469. lin. 38. non vidit *Steph.*

Ἀλλ'

Ἀλλ' ἴθι νῦν, σὺν νηΐ τε σῇ καὶ σοῖς ἑτάροισιν·
Εἰ δ' ἐθέλεις πεζὸς, πάρα τοι δίφρός τε καὶ ἵπποι,
Πὰρ δέ τοι υἷες ἐμοὶ, οἵ τοι πομπῆες ἔσονται·
Ἐς Λακεδαίμονα δῖαν, ὅθι ξανθὸς Μενέλαος.
Λίσσεσθαι δέ μιν αὐτὸν, ἵνα νημερτὲς ἐνίσπῃ·
Ψεῦδος δ' οὐκ ἐρέει· μάλα γὰρ πεπνυμένός ἐστιν.
Ὣς ἔφαθ'· ἠέλιος δ' ἄρ' ἔδυ καὶ ἐπὶ κνέφας ἦλθε·
Τοῖσι δὴ καὶ μετέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
Ὦ γέρον, ἦτοι ταῦτα κατὰ μοῖραν κατέλεξας·
Ἀλλ' ἄγε, τάμνετε μὲν γλώσσας, κεράσασθε δὲ οἶνον,
Ὄφρα Ποσειδάωνι καὶ ἄλλοις ἀθανάτοισι
Σπείσαντες, κοίτοιο μεδώμεθα· τοῖο γὰρ ὥρη.
Ἠδη γὰρ φάος οἴχεθ' ὑπὸ ζόφον· οὐδὲ ἔοικε
Δηθὰ θεῶν ἐν δαιτὶ θαασσέμεν, ἀλλὰ νέεσθαι.
Ἦ ῥα Διὸς θυγάτηρ, τοὶ δ' ἔκλυον αὐδησάσης.
Τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχυαν,
Κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο·
Νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσι·
Γλώσσας δ' ἐν πυρὶ βάλλον, ἀνιστάμενοι δ' ἐπέλειβον.
Αὐτὰρ ἐπεὶ σπεῖσάν τ', ἔπιόν θ', ὅσον ἤθελε θυμός,
Δὴ τότ' Ἀθηναίη καὶ Τηλέμαχος θεοειδὴς
Ἄμφω ἰέσθην κοίλην ἐπὶ νῆα νέεσθαι·
Νέστωρ δ' αὖ κατέρυκε καθαπτόμενος ἐπέεσσι,
Ζεὺς τόγ' ἀλεξήσειε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
Ὡς ὑμεῖς παρ' ἐμεῖο θοὴν ἐπὶ νῆα κίοιτε,

" Sed vade nunc cum nave tuâ & tuis
" sociis:
" Aut si mavelis per terram ire, aderit
" currusque & equi,
" Aderunt tibi etiam filii mei, qui tibi
" duces erunt
" Ad Lacedæmonem florentem, ubi
" flavus Menelaus.
" Precare autem eum ipsum, ut vera
" dicat:
" Mendacium tamen non dicet: valdè
" enim prudens est.
Sic ait: sol autem descendit & tenebræ advenerunt.
His verò & dixit dea cæsia Minerva,
" O senex, profectò hæc ex officio
" dixisti:
" Sed agite, dividite quidem linguas,
& miscete vinum,
" Ut Neptuno & aliis immortali-
" bus
" Ubi libaverimus, de lecto cogitemus;
" ejus enim hora adest.
" Jam enim lumen ivit sub occasum,
" neque decet
" Diu deorum in epulo sedere, sed re-
" dire.
Dixit sanè Jovis filia; hi verò audiverunt loquutam.
His quidem præcones aquam manibus infuderunt,
Juvenes autem crateras coronârunt vino:
Diviserunt autem omnibus, auspicati à poculis;
Linguas etiam in ignem conjecerunt, surgentesque libârunt.
Cæterùm postquam libârunt, biberuntque quantùm desiderabat animus,
Tum certè Pallas & Telemachus deo-
similis
Ambo desiderabant cavam ad navem redire:
Nestor autem statim detinuit incessens verbis,
" Jupiter hoc prohibeat, & immortales
dii alii,
" Ut vos à me celerem ad navem ea-
tis,

ΣΧΟΛΙΑ.

324. Πάρα τοί.] Πάρεστι σοί.
325. Πομπῆες.] Περιπομποί.
326. Δῖαν.] Εὐδαίμονα.
327. Ἐνίσπῃ.] Εἴπῃ.
332. Τάμνετε μὲν γλώσσας.] Ἔθος ἦν τοῖς παλαιοῖς τοὺς κρεμνοὺς, ἃ καίειν τοῖς θεοῖς, τὰς λόγους ἐπιμελουμένους· διὸ καὶ ἐπὶ μόνης τῆς Νέστορος θυσίας εἰρηται τὸ ἔθος. σύνηθες γὰρ τὸ λέγειν, σύντεμε τὰς λόγους· λέγει δὲ Ἀπίων εἶναι τὸ ἔθος, λαβόντων τῶν ὀχλῶν σύτους θύειν. Κεράσασθε δέ.] Ἀντὶ τοῦ κεράτε.
334. Κοίτοιο.] Κοίτης, ὅ ἐστιν ὕπνου.
335. Ζόφον.] Τὸ σκότος. Οὐδὲ ἔοικεν.] Οὐ πρέπον ἐστίν.
336. Θαασσέμεν.] Καθίσαι, ἀμφιέσθαι.
337. Αὐδησάσης.] Εἰπούσης.
344. Ἴεσθην.] Ὥρμησαν.
345. Καθαπτόμενος.] Φιλοφρονούμενος.
346. Ζεὺς τόγ' ἀλεξήσειε.] Τὸ ὑμᾶς χρείαν ἀπ' ἐμοῦ, ὡς πιπτούσης, ἢ ἀνελόντος. Ἀλεξήσειε.] Ἀπείρξειε, κωλύσειεν.
347. Κίοιτε.] Ἀπέλθοιτε.

NOTÆ.

331. Κατὰ μοῖραν) Ultima ᾶ κατὰ producitur, in *Cæsurâ*, vi *Toni* sui, & ante μ'.

NOTÆ IN SCHOLIA.

345. Ὑμᾶς scribo, pro ἡμᾶς, quod malè in *Impressis*; ὑμᾶς enim in *Textu*, *Aldinâ*, & MSS. 2.

VARIÆ LECTIONES.

335. Οἴχεθ') γρ. ὤχεθ'.

Ὡς

Ὥς τεῦ ἢ παρὰ πάμπαν ἀνείμονος, ἠὲ πενιχρῆ,
Ὥι ὅτε χλαῖναι καὶ ῥήγεα πολλὰ ἐνὶ οἴκῳ,
Οὕτ' αὐτῷ μαλακῶς, ὅτε ξείνοισιν, ἐνεύδειν.
Αὐτὰρ ἐμοὶ πάρα μὲν χλαῖναι καὶ ῥήγεα καλά.
Οὐ δῆθ' δὴ τῷδ' ἀνδρὸς Ὀδυσσῆος φίλος υἱὸς
Νηὸς ἐπ' ἰκριόφιν καταλέξεται, ὄφρ' ἂν ἔγωγε
Ζώω· ἔπειτα δὲ παῖδες ἐνὶ μεγάροισι λίπωμαι,
Ξείνους ξεινίζειν, ὅστις κ' ἐμὰ δώματ' ἵκηται.
Τόνδ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη,
Εὖ δὴ ταῦτά γ' ἔφησθα, γέρον φίλε· σοὶ δὲ ἔοικε
Τηλέμαχον πείθεσθαι, ἐπεὶ πολὺ κάλλιον ὧδε.
Ἀλλ' ὅδε μὲν νῦν σοι ἅμ' ἕψεται, ὄφρα καὶ εὖδῃ
Σοῖσιν ἐνὶ μεγάροισιν· ἐγὼ δ' ἐπὶ νῆα μέλαιναν
Εἶμι, ἵνα θαρσύνω θ' ἑταίρους, εἴπω τε ἕκαστα·
Οἵδε γὰρ μετὰ τοῖσι γεραίτερος εὔχομαι εἶναι,
Οἱ δ' ἄλλοι φιλότητι νεώτεροι ἄνδρες ἕποντο
Πάντες ὁμηλικίη μεγαθύμου Τηλεμάχοιο·
Ἔνθα κε λεξαίμην κοίλῃ παρὰ νηὶ μελαίνῃ
Νῦν· ἀταρ ἠῶθεν μετὰ Καύκωνας μεγαθύμους
Εἶμι, ἔνθα χρεῖός μοι ὀφέλλεται, οὐδέ νύ γε σμικρὸν
Οὐδ' ὀλίγον· σὺ δὲ τοῦτον, ἐπεὶ τὸν ἵκετο δῶμα,
Πέμψον σὺν δίφρῳ τε καὶ ὑμετέροις δόρυ δέ οἱ ἵππους,
Οἵ τοι ἐλαφρότατοι θέειν, καὶ κάρτος ἄριστοι.
Ὣς ἄρα φωνήσασ' ἀπέβη γλαυκῶπις Ἀθήνη,

"Tanquam ab aliquo vel prorsus veſte carenti, aut pauperculo,
" Cui neque veſtes & operimenta multa domi;
" Ut neque ipſi mollitèr, neque hoſpitibus, dormiendi copia ſit.
" Cæterùm mihi adſunt veſtes & operimenta pulchra:
" *Sin minus*, nequaquam illius Viri Ulyſſis charus filius
" Navibus in tabulatis pernoctaverit, dum ego
" Vixero, prætereáque liberi in regiâ linquantur,
" Qui hoſpites ſuſcipiant, quicunque ad domum meam perveniet.
Hunc rurſus alloquuta eſt dea cæſia Minerva,
" Benè ſanè hæc dixiſti, ſenex amice: te verò decet
" Telemachum ſequi, quoniam longè melius ſic.
" Verum ille quidem nunc te ſequatur; ut dormiat
" Domi tuæ: ego autem ad navem nigram
" Vado, ut confirmem ſocios præcipiámque ſingula:
" Solus enim inter illos ſenior glorior eſſe:
" Alii verò ob amicitiam juniores viri ſequuti ſunt
" Omnes æquales ætate magnanimi Telemachi.
" Illic utique dormiam cavâ in navi nigrâ
" Nunc: ſed manè ad Cauconas magnanimos
" Vado, ubi debitum mihi debetur, neque adeò novum,
" Neque parvum: tu verò hunc, quandoquidem tuam pervenit domum,
" Mitte cum curru & filio: da etiam illi equos,
" Qui tibi celerrimi currendo & robore fortiſſimi.
Sic certè loquuta abiit cæſiis oculis Minerva,

ΣΧΟΛΙΑ.

348. Ἀνείμονος.] Μὴ κεκτημένου ἱματίων.
349. Ῥήγεα.] Βαπτὰ ἱμάτια καὶ πολυβόλαια· ῥῆξαι δὲ οἱ ἀρχαῖοι ἔλεγον, τὸ βάψαι.
350. Μαλακῶς.] Ἁπαλῶς, ἀντὶ τοῦ, οὐκ ἀπαλοῖς.
351. Παῖδα.] Πάρεσιν.
352. Τῷδ' ἀνδρός.] Ἤτοι ἀναφορικῶς, τοῦ Ὀδυσσέως· ἢ τῷδε ἀνδρός, δεικτικῶς, ἀντὶ τοῦ ἐμοῦ.
353. Ἐπ' ἰκριόφιν.] Ἐπὶ τῶν καταστρωμάτων καὶ σανιδωμάτων τῆς νηός. Καταλέξεται.] Κοιμηθήσεται.
354. Λίπωμαι.] Καταλειφθῶσι.
355. Ξεινίζειν.] Ξενοδοχεῖν, φιλικῶς ὑποδέχεσθαι.
357. Ἔφησθα.] Εἶπας.
359. Εὕδῃ.] Κοιμηθῇ.
361. Θαρσύνω.] Παρορμήσω, ἀκροῖς ποιήσω.
362. Γεραίτερος.] Παλαιότερος.
365. Λεξαίμην.] Κοιμηθείην.
366. Μετὰ Καύκωνας.] Νῦν τὸ τὰ Ἀργολίδα μίμημα· ἐκεῖθι γὰρ ἡ Ἀθηνᾶ ὡδὶ τὸν Μενέλαον, σὺν τῷ Τηλεμάχῳ, ἀφικνεῖται, διότι γάμοι ἐπιτελοῦντο υἱῷ τοῦ θυγατρὸς Μενελάου· Ἀλλοτρία δὲ τούτων ἡ Ἀθηνᾶ.
367. Ὀφέλλεται.] Ὀφειλέται, χρεωστεῖται.

NOTÆ IN SCHOLIA.

349. Ἀρχαῖοι. pro Ἀχαιοί, ſcribo, nec ſine 2 MSS. auctoritate, etiam *Euſtathius* in locum, fol. 1471. lin. 55. Καὶ τὸ ῥῆξαι, ὃ ἐστι βάψαι, καθὰ γλῶσσαν, ὡς φασιν οἱ Παλαιοί.

VARIÆ LECTIONES.

357. Ὀφέλλεται) γρ. ὀφείλεται, *Strabo*, l. 8. fol. 526. *Ibid.* Οὔτε νύ γε) γρ. Ἠλιδὸς δίχα, *Strabo*, qui *Cauconas*, à Fluvio *Elidis*, *Caucone*, dictos vult.

Φήνη εἰδομένη· θάμβος δ' ἕλε πάντας ἰδόντας
Θαύμαζεν δ' ὁ γεραιὸς, ὅπως ἴδεν ὀφθαλμοῖσιν·
Τηλεμάχῳ δ' ἕλε χεῖρα, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν,
"Ὦ φίλος, οὔ σε ἔολπα κακὸν καὶ ἄναλκιν ἔσεσθαι,
Εἰ δή τοι νέῳ ὧδε θεοὶ πομπῆες ἕπονται.
Οὐ μὲν γάρ τις ὅδ' ἄλλος Ὀλύμπια δώματ' ἐχόντων,
Ἀλλὰ Διὸς θυγάτηρ ἀγελείη Τριτογένεια,
Ἧτοι καὶ πατέρ' ἐσθλὸν ἐν Ἀργείοισιν ἐτίμα.
Ἀλλὰ, Ἄναξ, ἵληθι, δίδωθι δέ μοι κλέος ἐσθλόν,
Αὐτῷ, καὶ παίδεσσι, καὶ αἰδοίῃ ἀλόχοιπ·
Σοὶ δ' αὖ ἐγὼ ῥέξω βοῦν ἰθῦν, εὐρυμέτωπον,
Ἀδμήτιν, ἣν οὔπω τις ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ.
Τήν τοι ἐγὼ ῥέξω, χρυσὸν κέρασιν περιχεύας.
Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη.
Τοῖσιν δ' ἡγεμόνευε Γερήνιος ἱππότα Νέστωρ,
Υἱάσι, καὶ γαμβροῖσιν, ἑὰ περὶ δώματα καλά.
Ἀλλ' ὅτε δώματ' ἵκανεν ἀγακλυτὰ τοῖο ἄνακτος,
Ἑξείης ἕζοντο κατ' κλισμούς τε θρόνους τε.
Τοῖς δ' ὁ γέρων ἐλθοῦσιν ἀνὰ κρητῆρα κέρασσεν
Οἴνου ἡδυπότοιο, τὸν ἑνδεκάτῳ ἐνιαυτῷ
Ὤιξεν ταμίη, καὶ ἀπὸ κρήδεμνον ἔλυσε.
Τοῦ ὁ γέρων κρητῆρα κεράσσατο· πολλὰ δ' Ἀθήνῃ
Εὔχετ' ἀποσπένδων, κούρῃ Διὸς Αἰγιόχοιο.
Αὐτὰρ ἐπεὶ σπείσάν τ', ἔπιόν θ', ὅσον ἤθελε θυμός,
Οἱ μὲν κακκείοντες ἔβαν οἰκόνδε ἕκαστος·
Τόνδ' αὐτοῦ κοίμησε Γερήνιος ἱππότα Νέστωρ
Τηλέμαχον, φίλον υἱὸν Ὀδυσσῆος θείοιο,

Aquilæ similis: stupor adeò invasit omnes videntes.
Admiratus etiam est senex, postquam vidit oculis:
Telemachi itaque prehendit manum, verbumque dixit, & loquutus est:
" O amice, non te opinor ignavum & imbellem fore,
" Siquidem te juvenem sic dii ductores sequuntur.
" Non enim quisquam hic alius cœlestes domos habitantium,
" Quam Jovis filia prædatrix Pallas,
" Quæ tibi & patrem pium inter Græcos honorabat.
" Quare, Regina, propitia sis; da item mihi gloriam bonam,
" Mihi ipsi & filiis & venerandæ uxori:
" Tibi autem ego sacrificabo bovem anniculam, lata fronte,
" Indomitam, quam nullus dum sub jugum duxit vir.
" Hanc tibi ego sacrificabo, aurum cornibus circumfundens.
Sic ait supplicans, hunc autem audivit Pallas Minerva.
Illis itaque præibat Gerenius eques Nestor,
Filiis & generis *suis*, ad suas ædes pulchras.
Sed postquam ad domum venerunt inclytam regis,
Ordine sedebant per sediliáque thronósque.
His verò senex venientibus craterem miscuit
Vini dulcis, quod undecimo anno
Aperuit ancilla, & operculum removit.
Hujus senex craterem miscuit; plurimùm verò Palladi
Supplicavit, libans filiæ Jovis Ægiochi
Cæterùm postquam libârunt biberuntque, quantum voluit animus,
Alii quidem dormiturientes abierunt ad domum singuli:
Hunc vero illic dormire fecit Gerenius eques Nestor
Telemachum, charum filium Ulyssis divini,

Σχολια.

372. Φήνῃ.] Φήνῃ, εἴδος ὀρνέου, ὄμοιον αἰετῷ.
373. Θαύμαζεν δ'.] Ὅτι νέῳ ὄντι τῷ Τηλεμάχῳ συμπεριφέρεται ὁ Ἀθηνᾶ.
375. Κακόν.] Δειλὸν, ἀσθενές.
376. Ἕπονται.] Ἀκολουθοῦσιν.
380. Ἵληθι.] Ἵλεως καὶ εὐμενὴς ἴσθι. Δίδωθι.] Δίδου, παρέχε.
388. Ἀγακλυτά.] Ἄγαν ἐνδοξα.
392. Κρήδεμνον.] Τὸ πῶμα ἢ πῖδα, μεταφορικῶς.

Notæ.

378. Τριτογένεια) De *Tritone* fluvio, & Τριτὼ, *Caput*, vid. *Diodor. Sicul.* fol. 12. & quæ Nos ad *Euripid.* Ion. v. 872. & ad *Iliad. Δ.* v. 39.

381. Παρακοιτ) Παρακοίτηδι, παρακοίτιδι, παρακοίτι, *Ultimâ* longâ. Sic, *Odyss. υ'.* v. 299. Μήτι τὸ κλέομαι καὶ κύδεσιν.

Variæ Lectiones.

372. Εἰδομένη) γρ. ἐεισομένη.
378. Ἀγελείη) γρ. κυδίστη, *H. Steph.* & *Sebevus.*
388. Ἵκοντο) γρ. ἵκανον.
392. Ὤιξεν) γρ. ὠίξει.

Τρη-

Τρητοῖς ἐν λεχέεσσιν, ὑπ' αἰθούσῃ ἐριδούπῳ·
Παρ δ' ἄρ' ἐϋμμελίλιν Πεισίστρατον, ὄρχαμον ἀνδρῶν,
Ὃς οἱ ἔτ' ἠίθεος παίδων ἦν ἐν μεγάροισιν·
Αὐτὸς δ' αὖτε καθεῦδε μυχῷ δόμου ὑψηλοῖο·
Τῷ δ' ἄλοχος δέσπινα λέχος πόρσυνε καὶ εὐνήν.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Ὦρτο δ' ἄρ' ἐξ εὐνῆφι Γερήνιος ἱππότα Νέστωρ·
Ἐκ δ' ἐλθὼν, καθ' ἄρ' ἕζετ' ἐπὶ ξεστοῖσι λίθοισιν,
Οἵ οἱ ἔσαν πρόσπαροιθε θυράων ὑψηλάων,
Λευκοὶ, ἀποστίλβοντες ἀλείφατος· οἷς ἐπὶ καὶ πρὶν
Νηλεὺς ἵζεσκεν, θεόφιν μήστωρ ἀταλαίφρων·
Ἀλλ' ὁ μὲν ἤδη κηρὶ δαμεὶς ἄϊδόσδε βεβήκει·
Νέστωρ αὖ τότ' ἔφιζε Γερήνιος, ἕρκος Ἀχαιῶν,
Σκῆπτρον ἔχων· περὶ δ' υἷες ἀολλέες ἠγερέθοντο,
Ἐκ θαλάμων ἐλθόντες, Ἐχέφρων τε, Στρατίος τε,
Περσεύς τ', Ἄρητός τε, καὶ ἀντίθεος Θρασυμήδης·
Τοῖσιδ' ἔπειθ' ἕκτος Πεισίστρατος ἦλυθεν ἥρως·
Παρ δ' ἄρα Τηλέμαχον θεοείκελον εἶσαν ἄγοντες.
Τοῖσιδε μύθων ἦρχε Γερήνιος ἱππότα Νέστωρ,
Καρπαλίμως μοι, τέκνα φίλα, κρηήνατ' ἐέλδωρ,
Ὄφρ' ἦτοι πρώτιστα θεῶν ἱλάσσομ' Ἀθήνην,
Ἥ μοι ἐναργὴς ἦλθε θεὸς ἐς δαῖτα θάλειαν.
Ἀλλ' ἄγε, ὁμῶς μὲν πεδίονδ' ἐπὶ βοῦν ἴτω, ὅφρα τάχιστα

Tesselliatis in lectis sub porticu sonanti:
Juxta eum verò bellicosum Pisistratum, principem juvenum,
Qui ei adhuc cælebs nliorum erat in regiâ;
Ipse verò reversus dormivit in secessu domus excelsæ:
Huic utique uxor Regina lectum præparaverat & cubile.
Quando autem manè-genita apparuit roseis-digitis aurora,
Surrexit quidem ex lecto Gerenius eques Nestor:
Egressúsque sedit super politos lapides,
Qui illi erant ante fores excelsas,
Albi, resplendentes unguenti *instar*: quibus quidem antea
Neleus sedebat diis consiliarius æquiparandus:
At ille quidem jam fato domitus ad inferos descenderat.
Nestor autem tum insidebat Gerenius, custos Græcorum,
Sceptrum habens: circùm autem filii frequentes congregabantur,
Ex thalamis egressi, Echephrónque, Stratiusque,
Perseusque, Aretusque, & divinus Thrasymedes:
His verò deinceps sextus Pisistratus venit heros:
Juxta verò Telemachum deo-similem collocârunt ducentes.
Illis demùm loqui cepit Gerenius eques Nestor,
" E vestigio mihi, filii chari, perficite desiderium;
" Ut certè primam deorum propitiem Palladem,
" Quæ mihi palàm venit dei ad convivium celebre.
" Verùm age, alius quidem rus causâ bovis eat, ut celerrime

ΣΧΟΛΙΑ.

399. Αἰθούσῃ.] Τῇ ἀπὸ ἥλιον τετραμμένῃ, παρὰ τὸ αἴθεσθαι ὑπ' αὐτῆς φῶς, ὃ ἐστι καίεσθαι. Ἐριδούπῳ.] Μεγάλως ἤχῳ ἀποτελούσῃ ἀφ' ὧν τοὺς ἀνέμους, ἠχηλιχῇ.

400. Ἐϋμμελίλιν.] Καλῶς τῇ μελίᾳ χρώμενον. Ὄρχαμον.] Ἡγεμόνα.

401. Ἠίθεος.] Ὁ μὲν τεσσαρεσκαιδέκατος ἐτῶν, ἕως ὀκτωκαιδέκατος, ἠίθεος λέγεται· ἐστὶ δὲ ἄγαμος.

403. Πόρσυνε.] Ἡτοίμαζεν.

408. Ἀποστίλβοντες.] Ἀποκαίμενοι. Ἀλείφατος.] Λειπὴ τὸ ὡς· ἔστι γὰρ, ὡς ἐλαίῳ.

409. Ἴζεσκεν.] Ἐκαθέζετο.

411. Ἔφιζε.] Ἐκαθέζετο.

416. Θεοείκελον.] Θεοῖς ὅμοιον. Εἶσαν.] Ἐκάθισαν.

418. Κρηήνατε.] Ἐπιτελέσατε.

419. Ἱλάσσομαι.] Ἐξιλεώσομαι.

420. Ἐναργὴς.] Φανερὸς. Θάλειαν.] Θαλλουσαν καὶ αὐξειν ποιοῦσαν.

421. Ἴτω.] Βαδιζέτω.

NOTÆ IN SCHOLIA.

399. Αἰθούσῃ) In fine hujus *Scholii*, τὸ ἠχηλιχῇ addo, priùs in alium ex hoc loco divagatum.

416. Pro ὀκαίθοντα corrupto, lego ὀκαίθουσαι, ut MSS. prædicta.

VARIÆ LECTIONES.

399. Ἐριδούπῳ) *γρ.* ἐριγδούπῳ, MSS. *GC.* & *Aloysii.*

402. Καθηῦδε) *γρ.* καθηῦδεν. Vid. ad *Iliad.* α'. v. 611.

416. Παρ δ' ἄρα Τηλέμαχον θεοείκελον εἶσαν ἀγόντες, Τοῖσι δὲ μύθων ἦρχε) *γρ.* Παρ δ' ἄρα, κλ. Οἱ δ' ἐπεὶ οὖν ἤγερθεν, ὁμηγερέες τ' ἐγένοντο, Τοῖσιδε μύθων, *H. Steph.*

421. Ἀλλά γ' ὁ μὲν) *γρ.* ἀλλ' ἄγ' ὁ μὲν *Dioscorides* apud *Suidam*, v. Ὄμηρος.

Ἐλθήσιν, ἐλάσῃ δὲ βοῶν ὀπιθεκτόλος ἀνήρ.
Εἷς δ' ἐπὶ Τηλεμάχῳ μεγαθύμῳ νῆα μέλαιναν
Πάντας ἰὼν ἑτάρους ἀγέτω, λιπέτω δὲ δύ' οἴους.
Εἷς δ' αὖ χρυσοχόον Λαέρκεα δεῦρο κελεύθω
Ἐλθεῖν, ὄφρα βοὸς χρυσὸν κέρασιν περιχεύῃ.
Οἱ δ' ἄλλοι μύθοιτ' αὐτοῦ ἀολλέες· εἰπεῖν δ' εἶπω
Δμωῇσιν κατὰ δῶμα, ἀγακλυτὰ δαῖτα πένεσθαι,
Ἕδρας τε, ξύλα τ' ἀμφί, καὶ ἀγλαὸν οἰνέμεν ὕδωρ.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπίπνυον· ἦλθε μὲν ἀρβοῦς
Ἐκ πεδίου, ἦλθον δὲ θοῆς παρὰ νηὸς ἑταῖροι
Τηλεμάχου ἑταροι μεγαλήτορος· ἦλθε δὲ χαλκεύς,
Ὅπλα κὲ χερσὶν ἔχων χαλκήια, πείραθ' τέχνης,
Ἄκμονά τε, σφῦραν τ', ἐϋποίητόν τε πυράγρην,
Οἷσίν τε χρυσὸν εἰργάζετο· ἦλθε δ' Ἀθήνη
Ἱερῶν ἀντιόωσα· γέρων δ' ἱππηλάτα Νέστωρ
Χρυσὸν ἔδωκ'· ὁ δ' ἔπειτα βοὸς κέρασιν περιχεύῃ
Ἀσκήσας, ἵν' ἄγαλμα θεὰ κεχάροιτο ἰδοῦσα.
Βοῦν δ' ἀγέτην κεράων Στρατίος καὶ δῖος Ἐχέφρων·
Χέρνιβα δὲ σφ' Ἄρητος ἐν ἀνθεμόεντι λέβητι
Ἤλυθεν ἐκ θαλάμοιο φέρων· ἑτέρῃ δ' ἔχεν ὑλὰς
Ἐν κανέῳ· πέλεκυν δὲ μνηστὸλεμος Θρασυμήδης
Ὀξὺν ἔχων ἐν χειρὶ παρίστατο, βοῦν ἐπικόψων.
Περσεὺς δ' ἀμνίον εἶχε· γέρων δ' ἱππηλάτα Νέστωρ

" Veniat, adducátque bovem bubulcus vir.
" Unus ad Telemachi magnanimi navim nigram
" Omnes protectus socios adducat, relinquat tamen duos solos:
" Unus iterum auruficem Laërceum huc jubeat
" Venire, ut bovis aurum cornibus circumfundat.
" Vos verò alii manere illic sedulò; dicite autem intùs
" Ancillis per domum augustam convivium apparare.
" Sediliáque, lignaque undique, & limpidam afferre aquam.
Sic ait; illi certè omnes ministrabant; venit quidem bos
Ex agro, venerunt etiam celeri à nave æquatâ
Telemachi socii magnanimi; venit etiam faber
Arma in manibus tenens fabrilia, administra artis,
Incudemque malleumque benefactamque forcipem,
Quibus scilicet aurum faciebat; venit quoque Minerva,
Sacris potitura: Senex autem eques Nestor
Aurum dedit: ille verò deinde bovis cornibus circumfudit
Aptans, ut devotam rem dea gauderet videns:
Bovem autem ducebant cornibus Stratius & divus Echephron:
Gutturniumque ipsis Aratus in floribus celato malluvio
Venit ex thalamo ferens: alteraque gestabat mola
In canistro: securim autem bellicosus Thrasymedes
Acutam gestans in manu astabat, bovem cæsurus
Perseus autem vas *sanguini recipiendo* tenebat: senex a. eques Nestor

ΣΧΟΛΙΑ.

424. Λιπέτω.] Καταλιπέτω, ἐασάτω. Οἴους.] Μόνους.
425. Κελεύθω.] Κελευσάτω.
426. Περιχεύῃ.] Περιβάλῃ.
430. Ἐπίπνυον.] Ἐπήρχον.
433. Ὅπλα.] Τὰ ἐργαλεῖα. Χαλκήια.] Χαλκευτικά. Πείραθ' τέχνης.] Οἷς ἡ τέχνη συμπεραίνεται.
436. Ἀντιόωσα.] Μεγαληγορῶν.
440. Ἀνθεμόεντι.] Ποικίλῳ, ἀφ' οὗ κατατερπόμενα αὐτῷ ἐπιτρέπει.
441. Οὐλάς.] Ἐλαιοβρόχους κελεύει.
442. Πέλεκυν.] Δίστομον ἀξίνην.
444. Ἀμνίον.] Ἔστι μὲν τὸ ἄπαξ εἰρημένον ἡ λέξις· σημαίνει δὲ ἀγγεῖον, ὅπου τὸ αἷμα τῶν ἱερείων δέχονται. καὶ ἔστι καθὼ τὸ ἔτυμον, ἀμνίον, ὃ ἐστι περιλυτὸν τῶν μόνων, τουτέστι ψυχῆς· οἱ Ἀττικοὶ σφάγιον αὐτὸ καλοῦσι.

NOTÆ.

438. Ἴν' ἄγαλμα) Ἄγαλμα, παῦ, ἐφ' ᾧ τις ἀγάλλεται. Vid. ad *Euripid.* Helen. v. 269. & v. 1448. Malè olim per *simulacrum* vertebatur & hìc & suprà. v. 274.

444. Ἀμνίον) De hâc voce. *Etymolog.* M. *Suidas*, & *Eustath.* in locum, fol. 138. lin. 4. & 12. ubi & ἀίμνιον *Apollodoro*, δάμνιον, *Nicandro* & *Theodoride.*

VARIÆ LECTIONES.

434. Ἐϋποίητον) γρ. εὐπόιητον.

444. Ἀμνίον) γρ. αἰμνίον, & δάμνιον. Vid. ad *Textum.*

Χέρνι-

Χέρνιβά τ' ὐλοχύτας τε κατήρχετο· πολλὰ δ' Ἀθήνῃ
Εὐχετ' ἀπαρχόμενος, κεφαλῆς τείχας ὀπυιὲ βάλλων.
Αὐτὰρ ἐπεὶ ῥ' ὔξαντο, καὶ ὐλοχύτας ἀφέβαλοντο,
Αὐτίκα Νέστορος υἱὸς, ὑπέρθυμος Θρασυμήδης,
Ἤλασεν ἄξαι ϛάς· πέλεκυς δ' ἀπέκοψε τένοντας,
Αὐχενίας, λῦσεν δὲ βοὸς μένος· αἱ δ' ὀλόλυξαν
Θυγατέρες τε, νυοί τε, καὶ αἰδοίη Εὐρύκλειης
Νέστορος, Εὐρυδίκη, πρέσβα Κλυμμήνοιο θυγατρῶν.
Οἱ μὲν ἔπειτ' ἀνελόντες ἀπὸ χθονὸς εὐρυοδείης
Εἶχον· ἀταρ σφάξεν Πεισίστρατος, ὄρχαμος ἀνδρῶν.
Τῆσδ' ἐπεὶ ἐκ μέλαν αἷμα ῥύη, λίπε δ' ὀστέα θυμὸς,
Αἶψ' ἄρα μὲν διέχυθαν· ἄφαρ δ' ἐκ μηρία τάμνον
Πάντα κατὰ μοῖραν, καθά τε κνίσῃ ἐκάλυψαν,
Δίπτυχα ποιήσαντες· ἐπ' αὐτοῖς δ' ὠμοθέτησαν·
Καῖε δ' ἐπὶ σχίζης ὁ γέρων, ἐπὶ δ' αἴθοπα οἶνον
Λείβε· νέοι δὲ παρ' αὐτὸν ἔχον πεμπώβολα χερσίν.
Αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἔκαη, καὶ σπλάγχν' ἐπάσαντο,
Μίστυλλόν τ' ἄρα τ' ἄλλα, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν,
Ὤπτησάν δ', ἀκροπόρους ὀβελοὺς ἐν χερσὶν ἔχοντες·
Τοφρά δὲ Τηλέμαχον λοῦσεν καλὴ Πολυκάστη,
Νέστορος ὁπλοτάτη θυγάτηρ Νηληϊάδαο.
Αὐτὰρ ἐπεὶ λοῦσέν τε, καὶ ἔχρισεν λίπ' ἐλαίῳ,
Ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλεν ἠδὲ χιτῶνα,

Aquamque molasque prælibavit: multisque Minervæ
Supplicavit auspicans; ex capite pilos in ignem jaciens.
Cæterùm postquam precati sunt, &. molas porrexerunt,
Statim Nestoris filius generosus Thrasymedes,
Impulit propè stans: securis autem abscidit nervos
Cervicales, solvitque bovis robur: ipsæ vero lætæ exclamabant
Filiæque nurusque & pudica uxor
Nestoris Eurydice, maxima-natu Clymeni filiarum.
Hi quidem deinde corripientes cæsam bovem à terra spaciosâ
Tenebant: cæterùm jugulavit Pisistratus dux virorum.
Ex illâ postquam niger sanguis fluxit, reliquitque ossa animus,
Celeriter ipsam divisêrunt statim autem coxas exoiderunt
Omnia ritè, insuperque omento cooperuerunt,
Bifariàm facientes; super ea verò cruda imposuerunt:
Torrebat autem super ligna senex, & insuper nigrum vinum
Libavit: juvenes verò juxta eum tenebāt manib. verua-quinq;-cuspidū:
Cæterùm postquam coxæ combustæ sunt, & viscera gustârunt,
Minutatimque dissecuerunt, aliâque verubus-transfixerunt,
Assârunt que, acuta verua in manibus tenentes:
Interea Telemachum lavit pulchra Polycaste,
Nestoris minima-natu filia Nelei filii.
Porro postquam lavit, & unxit pingui oleo,
Circaque ipsum indusium pulchrum jecit atque tunicam,

ΣΧΟΛΙΑ.

445. Χέρνιβά τ' ὐλοχύτας τε κατήρχετο.] Χερνίβων καὶ ὐλῶν ἀρξάμενος ἤρχετο.

449. Ἤλασεν.] Ἔπαισεν, ἔκρουσεν. Τένοντας.] Παντὸς τοῦ ἀφαιρεθέντος μέρους νεῦρον Ὅμηρος τένοντας καλεῖ.

450. Ὀλόλυξαν.] Μετὰ βοῆς εὔξαντο.

451. Νυοί.] Νύμφαι.

452. Πρέσβα.] Πρεσβυτέρα, ἢ ἔντιμος.

453. Ἀνελόντες.] Καθίσαντες. Εὐρυοδείης.] Πλατείας ὁδοὺς ἔχούσης.

454. Ἔχον.] Κατέχον.

455. Ῥύη.] Ἐρεύσειν.

456. Διέχυθαν.] Καθὰ μέρη διεῖλον. Τάμνον.] Διέτεμνον, διέκοπτον.

463. Ἀκροπόρους.] Ὀξεῖς. ὧν τὸ ἄκρον ἀφ' οὗ πυρωθέντων εὐχερῶς δύνασθαι ἀφ' τοῦ ὀξύνεσθαι.

465. Ὁπλοτάτη.] Νεωτάτη.

466. Λίπ' ἐλαίῳ.] Τῷ λιπαρῷ ἐλαίῳ.

NOTÆ.

450. Αἱ δ' ὀλόλυξαν) Quòd vox ὀλολύζω lætam in sacris præcipuè acclamationem notet, vid. *Meric. Casaubon.* de nuperâ *Homeri* Editione, §. 1. p. 38. & quæ Nos ad *Euripid.* Iphig. Taur. v. 1337. ad *Troad.* v. 1073. *Electr.* v. 691. & *Anacreon*, vi 634.

VARIÆ LECTIONES.

463. Ὤπλων) γρ. ὄπλων, in *Cantabr.* 2d. verùm ὤπλων suprà, v. 33. & hic ὤπλων *Florentin. Rescian. Lovanie. H. Stephan.* &c. Ὤπλων δ') γρ. ὤπλων τ'.

Ἐκ

Ἐκ ῥ' ἀσαμίνθῳ βῆ, δέμας ἀθανάτοισιν ὁμοῖος·
Πὰρ δ' ἄρα Νέστορ' ἰὼν καθ' ἄρ' ἕζετο, ποιμένι λαῶν.
Οἱ δ' ἐπεὶ ὤπτησαν κρέ' ὑπέρτερα, καὶ ἐρύσαντο,
Δαίνυθ' ἑζόμενοι· ἐπὶ δ' ἀνέρες ἐσθλοὶ ὄρουσε,
Οἶνον ἐποινοχοεῦντες ἐπὶ χρυσείοις δεπάεσσιν.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Τοῖσίδε μύθων ἦρχε Γερήνιος ἱππότα Νέστωρ,
Παῖδες ἐμοί, ἄγε, Τηλεμάχῳ καλλίζυγας ἵππους
Ζεύξαθ' ὑφ' ἅρμαθ', ἅγωνται, ἵνα πρήσσησιν ὁδοῖο.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τῷ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο·
Καρπαλίμως δ' ἔζυξαν ὑφ' ἅρμασιν ὠκέας ἵππους·
Ἐν δὲ γυνὴ ταμίη σῖτον καὶ οἶνον ἔθηκεν,
Ὄφρα τὲ, οἷα ἔδουσι διοτρεφέες βασιλῆες.
Ἂν δ' ἄρα Τηλέμαχος θοὸν ἅρμασιν εἰλήλουθε·
Πὰρ δ' ἄρα Νεστορίδης Πεισίστρατος, ὄρχαμος ἀνδρῶν,
Ἐς δίφρον τ' ἀνέβαινε, καὶ ἡνία λάζετο χερσί·
Μάστιξεν δ' ἐλάαν· τὼ δ' οὐκ ἄκοντε πετέσθην
Ἐς πεδίον, λιπέτην δὲ Πύλον αἰπὺ πολίεθρον.
Οἵδε παννυχίοι σεῖον ζυγὸν ἀμφὶς ἔχοντες·
Δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί.

E lavacro exiit corpore, immortalibus ſimilis:
Apud Neſtorem verò profectus reſedit, paſtorem populorum:
Hi vero poſtquam aſſarunt carnes exteriores & detraxerunt,
Epulabantur ſedentes; deinde viri primarii ſurgebant,
Vinum infundentes in aureis poculis.
Cæterùm poſtquam potûs & cibi deſiderium amoverunt,
Inter illos ſermonem cœpit Gerenius eques Neſtor,
Filii mei, agite, Telemacho pulchros-pilos-habentes equos,
Conjungite ſub currum ducentes; ut conficiant iter.
Sic ait, hi certè illum ſtatim audierunt atque paruerunt:
Celeriter autem junxerunt ſub currum veloces equos:
Cuſtos vero ancilla panem & vinum impoſuit,
Obſoniaque, qualia edunt à Jove-nutriti reges.
Telemachus certè perpulchrum conſcendit currum;
Juxta eum verò Neſtorides Piſiſtratus, princeps Juvenum,
In currumque conſcendit, & habenas cepit manu:
Verberavitque ad impellendum; illi verò non inviti volabant
Ad campum, reliquerunt autem Pyli arduam urbem.
Illi verò totâ die quatiebant jugum utrinque tenentes:
Occidirque ſol, obumbrabanturque omnes viæ:

ΣΧΟΛΙΑ.

471. Ἐζόμενοι.] Καθιζόμενοι. Ὄρουσε.] Ὥρμων.

472. Ἐποινοχοεῦντες.] Κιρνῶντες.

476. Πρήσσησιν ὁδοῖο.] Πορεύηται εἰς τὸ ὁδόν.

480. Ὄφρα.] Ἐδέσματα. Διοτρεφέες.] Ὑπὸ Διὸς τεθραμμένοι, εὐγενεῖς.

486. Σεῖον ζυγόν.] Παρεκδοχικῶς, ἀντὶ δὲ παρεπομένου τὸ ὑποκείμενον, ἀντὶ δὲ ὄχλου.

NOTÆ.

476. Ζεύξαθ' ὑφ' ἅρμαθ' ἅγωνται) Quanquam olim in omnibus ferè, quas vidi, Editionibus, ζεύξασθ' eſſet ſcriptum, Verſûs tamen periculo territus, auſus ſum τὸ σ'. delere: & *Homerus*, *Odyſſ. δ'.* v. 47. Ζεῦξον ὑφ' ἅρμαθ' ἅγωνται. Et infrà, v. 478. Καρπαλίμως ἔζυξαν ὑφ' ἅρμασιν. *Euſtathii* Textus ζεύξασθ', ut Nos, legit, & fol. 1477. lin. 29. Τὸ ὃ ἀναστρέψαντες τοῦτο, Ζεύξαθ' ὑφ' ἅρμαθ' ἅγωνται, ἤτοι πάνυ δῆλον, εἴτε ζεύξαπε ὑφ' ἅρμαθε, εἴτε καὶ ἐνικῶς, ὑφ' ἅρμαθε.

NOTÆ IN SCHOLIA.

472. Ἐποινοχοεῦντες) Ἰτὰ pro οἰνοχοεῦντες, *Textûs* & MSStorum auctoritate.

486. *Euſtath* fol. 141. lin. 49. Ὅτι τὸ, Παννυχίοι σεῖον ζυγὸν ἀμφὶς ἔχοντες, ἀντὶ δὲ ἱππομαχίας σημαίνει τὸ ἐπίπονον. Παρεκδοχικῶς δὲ ἐκλαμβάνεται καὶ τὸ ὑποκείμενον, ἀντὶ δὲ ὄχλου. Καὶ ἔστιν ἰδεῖν καὶ παρακολουθοῦντα, ἐπεὶ καὶ τοῖς ἄντα κινουμένοις ζώοις, φασὶν οἱ Παλαιοὶ, ὅτι παρεκδοχικῶς ἐπέθηκε καὶ τὸ ζυγὸν, ὑφ' ὃν εἰσὶ καὶ φασὶν οἱ Παλαιοὶ, ὅτι παρεκδοχικῶς ἐπέθηκε καὶ τὸ ζυγὸν, ὑφ' ὃν εἰσὶ καὶ παρεπόμενόν τὸ ὑποκείμενον, ἀντὶ δὲ ὄχλου.

VARIÆ LECTIONES.

469. Πὰρ δ' ἄρα) γρ. πὰρ δ' ὄγε, *H. Steph.*

472. Ἐποινοχοεῦντες) γρ. οἰνοχοεῦντες, *Br. Schol.*

476. Ζεύξαθ' ὑφ') γρ. ζεύξασθ' ὑφ', in pluribus, verum Error. Vid. Not. in *Textum*. *Ibid.* Πρήσσησιν) γρ. πρήσσωσιν, *H. Steph.*

479. Ἔθηκεν) γρ. ἔχθυν, *H. Steph.*

484. Ἄνωγθε) γρ. αἴνωγτε, *H. Steph.*

487. Δύσετο) γρ. δύσατο, Vid. ad *β'.* v. 388. & infrà, v. 497.

Ἐς

Ἐς Φηρὰς δ' ἵκανον, Διοκλῆος ποτὶ δῶμα,
Υἱέος Ὀρσιλόχοιο, τὸν Ἀλφειὸς τέκε παῖδα.
Ἐνθάδε νύκτ' ἄεσαν· ὁ δὲ τοῖς πάρ ξείνια θῆκεν.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Ἵππους τ' ἐζεύγνυντ', ἀνά θ' ἅρμαθ' ποικίλ' ἔβαινον·
Ἐκ δ' ἔλασαν θεσπεσίου, ὑπὸ αἰθούσης ἐειδούσης.
Μάστιξεν δ' ἐλάαν· τὼ δ' οὐκ ἄκοντε πετέσθην·
291. *Scholii* hujus verba per se satis obscura, ità explico. Meretur aliquis, quomodo *Neptunus* dicatur συναγεῖν νεφέλας, cùm *Jupiter* sit proprie νεφεληγερέτης; *Scholiastes* ait, Πρὸς ἀνθρώπους, οἱ πάντες ἴσοι

Variæ Lectiones.

278. Ἑπταδεκαίδεκα) γρ. ἑπτὰ δ' ἐς δέκα.

281. Ὡς ὅτε ῥινὸν) γρ. ὡς ὅτ' ἐρινὸν, *Br. Schol.* Vid. Not. in *Textum.*

283. Ἴδεν) γρ. εἶδεν, vid. Not. in *Textum.*

284. Ἐπιπλείων) γρ. ἐπιπλώων, *H. Steph.*

288. Γαίη χεδόν) γρ. γαίης χεδόν, γαῖα χεδόν. Nam γαίη male in *Nominat.*

289. Πείρας) γρ. πῖερ, *H. Steph.*

290. Φημὶ ἄδην) γρ. φήμ' ἄδδην, vid. ad ε'. v. 203.

Χερσὶ

Χερσὶ τέλαυναν ἐλάτῃ· πάσας δ' ὀρόθυνεν ἀέλλας
Παντοίων ἀνέμων· σὺν δὴ νεφέεσι κάλυψε
Γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρεχθ' δ' ἠρανόθεν νύξ.
Σὺν δ' Εὖρός τε Νότος τ' ἔπεσε, Ζέφυρός τε δυσαὴς,
Καὶ Βορέης αἰθρηγενέτης, μέγα κῦμα κυλίνδων.
Καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ·
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν,
Ὤ μοι ἐγὼ δειλὸς, τί νύ μοι μήκιστα γένηται;
Δείδω, μὴ δὴ πάντα θεὰ νημερτέα εἶπεν,
Ἣ μ' ἔφαθ' ὃ πόντῳ, πρὶν πατρίδα γαῖαν ἱκέσθαι,
Ἄλγε' ἀναπλήσειν· τάδε δὴ νῦν πάντα τελεῖται.
Οἷοισιν νεφέεσι περιστέφει οὐρανὸν εὐρὺν
Ζεὺς, ἐτάραξε δὲ πόντον, ἐπισπέρχουσι δ' ἄελλαι
Παντοίων ἀνέμων· νῦν μοι σῶς αἰπὺς ὄλεθρος.
Τρὶς μάκαρες Δαναοὶ, καὶ τετράκις, οἵ τότ' ὄλοντο
Τροίῃ ἐν εὐρείῃ, χάριν Ἀτρεΐδῃσι φέροντες.
Ὡς δὴ ἔγωγ' ὄφελον θανέειν καὶ πότμον ἐπισπεῖν
Ἤματι τῷ, ὅτε μοι πλεῖστα χαλκήρεα δοῦρα

Manibus tridentem capto: omnes verò concitavit procellas
Omnium ventorum; nubibus utique operuit
Terram simul & pontum; ingruebat adeò à cœlo nox.
Una Eurúsque Notúsque ruebat, Zephyrúsque vehemens,
Et Boreas frigidus, ingentem fluctum provolvens.
Et tunc Ulyssis solvebantur genua & amicum pectus;
Trissatusque dixit ad suum magnànimum animum,
" Heu me misérum, quid mecum tandem fiet?
" Vereor, ne jam omnia dea vera dixerit,
" Quæ me dicebat in mari, priusquam in patriam terram pervenirem,
" Dolores impleturum esse: ea certè nunc omnia perficiuntur.
" Qualibus nubibus coronat cælum latum
" Jupiter! commovitque mare! ingruunt verò procellæ
" Omnium ventorum: nunc mihi repositum certum exitium.
" Ter beati Græci & quater, qui quondam perierunt,
" Trojâ in latâ, Atridis gratificantes.
" Utinam ego debuissem mori, & fatum assequi
" Die illo, quando mihi plurimi ferratas hastas

Σ Χ Ο Λ Ι Α.

292. Τέλαυναν ἐλάτῃ.] Εὐσεβεστέρως πρὸς τὸ κινῆσαι φέρεσθαι ἢ εἶχεν ἀκούειν. Ὀρόθυνεν.] Ἐπέτεινε, συνήγαγε.

294. Ὀρώρεχθ'.] Ἐκινεῖτο, παρωρμᾶτο. Νύξ.] Σκότος.

295. Δυσαής.] Δύσπνους, ἢ διὰ δυσμῶν πνέων· ἢ διπλῆς καὶ τὸ πνεῖν· καὶ γὰρ ἀναψυχὴ τὸ ἀνθρώπους.

296. Αἰθρηγενέτης.] Αἰθρίαν καὶ εὐδίαν ποιῶν· ἢ αἴθρῃ ποιῶν, ὅ ἐστι πάγῃ.

297. Λύτο.] Ἀντὶ τοῦ, ἐλύθη.

299. Δειλός.] Δείλαιος, δυσχής. Τί νύ μοι μήκιστα γένηται;] Τίνα μοι τούτων δύνασαι γλυκέως μείζονα κακὰ; πῶς ἂν ἀφ' ὧν οὐ γεύσεται, ἵν' ἡ μήκιστα, ἀντὶ τοῦ, πῶς μοι γένηται μηκάνη; οἱ δὲ, πῦ; πῶς; ὡς κακῶς. Τί νυ βέομαι; πῶς μοι τούτων δύνασαι μείζω γλυκέως κακά; Μήκιστα.] Μείζονα.

301. Ἔφατο.] Εἶπεν.

302. Ἀναπλήσειν.] Ἀναπληρώσειν.

303. Οἷοισιν.] Ὁποίοις. Περιστέφει.] Περιλαμβάνει, περικαλύπτει.

304. Ἐπισπέρχουσι.] Καταπείγουσι.

305. Νῦν μοι σῶς αἰπὺς ὄλεθρος.] Τοῦτό ἐστιν, ἀντὶ τοῦ, θανοῦμαι. *Σῶς.] Νημερτής.

307. Χάριν φέροντες.] Χαριζόμενοι.

N O T Æ.

297. Καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα) Livius Andronicus in *Odyssea*, Igitur demùm *Ulyxi* cor fixit præ pavore. Vid. *Servium* in Æn. l. 1. v. 96. Vid. ad δ'. v. 703. ubi *Meibomii* Lectio explosa.

306. Τρὶς μάκαρες Δαναοὶ καὶ τετράκις) Hos Versus à Puero *Corinthio* Patriæ suæ superstiti prolatos *Memmio* Victori lacrymas excussisse, memorat *Plutarchus*. *Virgil.* Æn. 1. v. 98. O terque quaterque beati, &c.

NOTÆ IN SCHOLIA.

πάντων ἐξουσίαν ἔχουσιν. Ità *Minerva* in *Græcos ex Trojâ* redeuntes fulmine usa est. *Pallasne exurere classem Argivûm*, &c.

299. Τί νυ βέομαι, lego ex *Homer.* χ'. v. 431. non obstante MSto & Codd. *Impress.* qui legunt βίομαι.

305. Νῦν μοι σῶς αἰπὺς ὄλεθρος) Τοῦτό ἐστιν, ἀντὶ θανοῦμαι, ita ex MS. *Σῶς, νημερτὴς, & hoc ex *Aloys.* MS.

VARIÆ LECTIONES.

295. Τ' ἔπεσε) γρ. τ' ἔπεσεν, & τὲ πίσυ, *H. Steph.* Ió. Δυσαὴς) γρ. δύσπνους, *Br. Schol.* ut per διπλῆς, &c. patet.

297. Δύτο) γρ. λῦτο, vid. ad δ'. v. 703.

299. Τί νυ) γρ. τίνα, *Br. Schol.* *Ibid.* Μήκιστα) γρ. μήκιστα, *Br. Schol.* & MS. *GC.*

308. Ὡς δὴ) γρ. ὡς δὴ, *H. Steph.*

Τρῶες ἐπέρριψαν θοὶ Πηλείωνι θανόντι.
Τῷ κ' ἔλαχον κτερέων, καί μιν κλέος ἦγον Ἀχαιοί.
Νῦν δέ με λιγυαλέῳ θανάτῳ εἵμαρτο ἁλῶναι.
Ὣς ἄρα μὶν εἰπόντ' ἔλασεν μέγα κῦμα καλ' ἄκρης,
Δεινὸν ἐπηετανύμενον, θοὶ ᾗ χελίῳ ἐλέλιξεν.
Τῆλε δ' ἀπὸ σχεδίης αὐτὸς πέσε, πηδάλιον δὲ
Ἐκ χειρῶν προέηκε· μέσον δέ οἱ ἰσὸν ἔαξε
Δεινὴ μισγομένων ἀνέμων ἐλθοῦσα θύελλα.
Τηλοῦ δ' σπεῖρον κὴ ἐπίκριον ἔμπεσε πόντῳ,
Τόνδ' ἄρ' ὑποδρυχα θῆκε πολὺν χρόνον· οὐδὲ δυνάθη
Αἶψα μάλ' ἀνακηθέειν, μεγάλῃ ὑπὸ κύματος ὁρμῇ·
Εἵματα γάρ ῥ' ἐδάρυπε, τά οἱ πόρε δῖα Καλυψώ·
Ὀψὲ δὲ δή ῥ' ἀνέδυ, θαλάσσης δ' ἐξέπτυσεν ἅλμην
Πικρήν, ἥ οἱ πολλὴ ἀπὸ κροτάφων κελάρυζεν.
Ἀλλ' οὐδ' ὡς σχεδίης ἐπελήθετο, τειρόμενός περ,
Ἀλλὰ μεθορμηθεὶς σὺν κύμασιν, ἐλλάβεθ' αὐτῆς·
Ἐν μέσῃ δ' ἵζανε, τέλος θανάτοιο ἀλεείνων.
Τὴν δ' ἐφορᾷ μέγα κῦμα κατ' ῥόον ἔνθα κὴ ἔνθα.
Ὡς δ' ὅτ' ὀπωρινὸς Βορέης φορέῃσιν ἀκάνθας
Ἀμπεδίον, πυκιναὶ δ' ἅμα νεῦς ἀλλήλῃσιν ἔχουσι·
Ὣς τὴν ἀμπέλαγος ἄνεμοι φέρον ἔνθα κὴ ἔνθα.

" Troës contorserunt circa Achillem mortuum;
" Tum fortitus essem parentalia, & meam gloriam celebrâssent Græci:
" Nunc me tristi morte decretum est perire.
Sic certe ipsum loquutum pepulit ingens fluctus à vertice,
Horrendùm irruens, invertítque prorsus ratem.
Longè verò à rate excidit, clavúmque
Ex manibus projecit, medium verò malum ei fregit
Horrenda commixtorum ventorum irruens procella.
Longè itaque velum & antenna incidit ponto,
Illum sub aquâ detinuit longo tempore; neque potuit
Valdè statim emergere, magni sub fluctûs impetu:
Vestes enim gravabant quas illi præbuerat diva Calypso.
Tandem tamen emersit, & ex ore evomuit salsuginem
Amaram, quæ ei copiosa à capite defluebat.
Sed neque sic ratis oblitus est, tametsi afflictus,
Verùm impetu facto in fluctibus apprehendit eam:
In medio autem sedit, finem mortis effugiens.
Hanc ferebat ingens fluctus per undarum impetum huc atque illuc.
Quemadmodum quoties autumnalis Boreas fert spinas
Per campos, densæ autem invicem cohærent:
Sic illam per mare venti ferebant huc atque illuc.

Σ Χ Ο Λ Ι Α.

310. Περὶ Πηλείωνι θανόντι.] Ἴσως ἀφ' τῷ Θέτιν, ἢ Ἀχιλλέως ἐμνήσθη.
311. Τῷ κεν.] Οὕτω δ' ἄν. Ἔλαχον.] Ἔτυχον, ἠξιώθην. Ἦγον.] Διέφερον, διεδίδοσαν.
312. Λιγυαλέῳ.] Ἀδέξῳ, ἢ ἀδυνάτῳ, ἢ τῷ δι' ὠδυνῶν. Εἵμαρτο.] Πέπρωτο. Ἁλῶναι.] Ἀποθανεῖν.
313. Ἔλασεν.] Ἔπαισεν, ἐπίκρυσεν, ἔπληξεν. Κατ' ἄκρης.] Καθ' κεφαλῆς· ἢ ἀντὶ τοῦ ὅλον· κὴ γὰρ, κατ' ἄκρας πόλιν ἑλεῖν, φασίν.
314. Ἐλέλιξεν.] Ἔσεισεν.
316. Προέηκεν.] Ἀφῆκεν, ἐξέβασεν.
318. Σπεῖρον.] Νῦν τὸ ἄρμφον.
319. Ὑπόδρυχα.] Ὑποβρύχιον· βάλοι δ' ἂν λέγειν τὰ καθειδυκότα εἰς τὸ ὕδωρ.
320. Ἀνακηθέειν.] Ἥτοι ἀνθιχεῖν, ἢ ἀνελθεῖν.
323. Κροτάφων.] Κεφαλῆς. Κελάρυζεν.] Μᾶλλον ἔχει ἔρρει.
324. Τειρόμενός περ.] Καὶ καθαπονούμενον.
325. Ἐλάβετο.] Ἐπιλάβετο, κατέσχεν.
326. Τέλος θανάτοιο | Τὸ θανατᾶν.
327. Καθ' ῥόον] Κατὰ τὸ ῥεῦμα.
328. Ὀπωρινός.] Ὁ ἐν τῷ καιρῷ τῆ ὀπώρας, ὅ ἐστιν ἐν τῷ θέρει πνέων. Φορέῃσι.] Φέρει, κυφίζει.
329. Ἔχουσι.] Ἀντέχοντα.

N O T Æ.

323. Κελάρυζεν) Ità *Textum* restituo, ità olim *Florentina*, *Aldina*, & *Lovaniana* &c. *H. Stephanus* κελάρυσε, per errorem prelì, & multa ejusmodi; hinc alii usque ad *Elzevir.* &c.

325. Ἐλλάβεθ' αὐτῆς) Vid. ad *Iliad. ε'.* v. 83. & ad *Odyss. η'.* v. 145. Ἐλλάβεθ', *Br. Schol.*

329. Ἀμπεδίον) *H. Steph.* ἀν πεδίον, nè notatâ aliâ *Lectione*; cùm tamen *Florentina* omnium vetustissima legat ἀμπεδίον, ut & *Aldina* & *Eustath.* & in sequenti Versu ἀμπέλαγος, quæ vera est *Lectio*, & in *Iliade* ferè perpetua, ut ad *Iliad. ε'.* v. 87.

330. Ἀμπέλαγος) Vid. ad Not. præcedent.

V A R I Æ L E C T I O N E S.

323. Πολλὴ) γρ. πολλόν. *H. Steph.* *Ibid.* Κελάρυζεν) γρ. κελάρυσεν, *H. Steph.* Vid. Not. in *Textum.*

329. Ἀμπεδίον) γρ. ἀν πεδίον, vid. Not. in *Textum.*

330. Ἀμπέλαγος) γρ. ἀν πέλαγος, vid. ut supra.

Ἄλλοτε

Ἄλλοτε μὲν τε Νότος Βορέῃ προβάλεσκε φέρεσθαι,
Ἄλλοτε δ' αὖτ' Εὖρος Ζεφύρῳ εἴξασκε διώκειν.
Τόνδε ἴδεν Κάδμου θυγάτηρ, καλλίσφυρος Ἰνώ,
Λευκοθέη, ἣ πρὶν μὲν ἦεν βροτὸς αὐδήεσσα,
Νῦν δ' ἁλὸς ἐν πελάγεσσι θεῶν ἔξ ἔμμορε τιμῆς.
Ἣ ῥ' Ὀδυσῆι ἐλέησεν ἀλώμενον, ἄλγεα πάσχοντα,
Αἰθυίῃ δ' εἰκυῖα ποτῇ ἀνεδύσατο λίμνης·
Ἷζε δ' ἐπὶ σχεδίης πολυδέσμου, εἶπέ τε μῦθον,
Κάμμορε, πίπτε τοι ὧδε Ποσειδάων ἐνοσίχθων
Ὠδύσατ' ἐκπάγλως, ὅτι τοι κακὰ πολλὰ φυτεύεις;
Οὐ μὲν δή σε καταφθίσει, μάλα περ μενεαίνων.
Ἀλλὰ μάλ' ὧδ' ἔρξαι, δοκέεις δέ μοι οὐκ ἀπινύσσειν,
Εἵματα ταῦτ' ἀποδὺς, σχεδίην ἀνέμοισι φέρεσθαι
Κάλλιπ'· ἀτὰρ χείρεσσι νέων, ἐπιμαίεο νόστου
Γαίης Φαιήκων, ὅθι τοι μοῖρ' ἐστὶν ἀλύξαι.
Ἔνθ' ἦ τόδε κρήδεμνον ὑπὸ στέρνοιο τάνυσσαι

Interdum quidem Notus Boreæ objectabat, ut ferret,
Interdum vero rursus Eurus Zephyro cessit, ut persequeretur.
Hunc vidit Cadmi filia, pulchris-talis Ino,
Leucothea, quæ antè quidem erat mortalis terrestris;
Nunc vero maris in fluctibus deorum sortita erat honorem.
Hæc Ulyssem miserta erat vagabundum, dolores habentem;
Mergo verò assimilis volatu emersit è gurgite,
Seditque in rate, & ipsum sermone alloquuta est,
" Infelix, quid tibi sic Neptunus terram concutiens
" Iratus est ferociter, quòd tibi mala multa ingerit?
" Nequaquam tamen te perdet, licet hoc summoperè studens.
" Sed certè sic fac, videris mihi non desipere,
" Vestibus his exutis, ratem ventis ferre
" Derelinque; exterùm manibus natans quære reditum
" Ad terram Phæacum, ubi tibi fatum est effugere.
" Accipe etiam hanc vittam & sub pectore extendas

ΣΧΟΛΙΑ.

331. Προβάλεσκε.] Προβάλλετο. ΑΒΗ.

332. Εἴξασκε.] Παρεχώρει.

333. Τὸν δ' ἴδεν Κάδμου θυγάτηρ.] Ἐλεεῖ αὐτὸν, ὡς ἀνθρωπον· γλυκυθήρ, Ἰνὼ, ἢ ὅτι ἦν φιλογύνης ὁ Ὀδυσσεύς· ἡ δὲ ἀφ' ἧς ἡ Αἰθραία ἐδυσώπησεν· οὐκ εἰκαιῶς δὲ τοῦ Ποσειδῶνι. Καλλίσφυρος.] Καλὰ σφύρα ἔχουσα, ὅ ἐστι πάνυ.

334. Λευκοθέη.] Λευκοθέα ἐκλήθη ἡ Ἰνὼ, διὰ τὸ ἁλὸς γενομένη, ὅ ἐστι δεσποινῶν, ἀφ' ἧς λεγομένης Λευκοῦ πεδίου τὸ Μεγαρέων. Αὐδήεσσα.] Ἦτοι ἀφθόγγους ἀφ' οὗ συμβάντος· ἢ ἐπεὶ οἱ ἀθάνατοι φωνήεντες ὡς τὰ ἄλλα ζῶα· πρὶν ἐδήεσσα.] Ἡ ἐπίγειος ποτε.

335. Ἐξέμμορε τιμῆς.] Μοῖραν ἔχει τιμῆς.

337. Αἰθυίῃ δ' εἰκυῖα ποτῇ.] Σὺν πτερύγεσσιν, ὡς τὸν ὁρμὸν ἀπελλαττόμενον μή τι ἔτι κακὸν τῇ αἰθυίᾳ, ὡς ἡ Ἀθηνᾶ. Ὅρνις δὲ ὡς ἀετόπους διὰ τὸ, ἢ, Φλοιὸν εἰδομένη. αἰθυῖα δ εἶδος ὀρνέου θαλασσίου. Ποτῇ, ἢ ποτῇ.] Τῷ πτήσει, τῇ πτήσει.

340. Ὠδύσατο.] Ὠργίσθη. Ἐκπάγλως.] Πάνυ ἐξόχως.

341. Καταφθίσει.] Φθαρῆναι ποιήσει.

342. Ἔρξαι.] Ποίησον. ἀπαρέμφατον, ἀντὶ προστακτικῆς. Δοκείεις.] Δοκεῖς, νομίζῃς. Οὐκ ἀπινύσσειν.] Οὐκ εἶναι ἀσύνετον.

344. Καλλίπ.] Καταλίπωμεν, ἔασον. Νέων.] Νηχόμενον, κολυμβῶν. Ἐπιμαίεο.] Ἐφίεσο, ἐφικνοῦ.

345. Ἀλύξαι.] Ἐκφυγεῖν.

346. Τῇ.] Λαβὲ, δωρικῶς. Κρήδεμνον.] Κεφαλόσμηγμα. Τάνυσσαι.] Ἁπλῶσαι, ἀντὶ δὲ ἅπλωσον.

NOTÆ.

334. Ἣ πρὶν μὲν ἦεν βροτὸς αὐδήεσσα) Quùm neque ἦεν ἔσται, αὐδῆς ἐπελεύσεται, ut mox videbimus, suspicor hoc certè loco legendum, ἐδήεσσα, quam vocem *Br. Schol.* per τὸ ἐπίγειον exponunt. Hæc sane *Lectio* semper inter *Var. Lect.* numeratur, quoties in *Textu* αὐδήεσσα legitur; & ubi de Deâ inferiori dicitur, ut de *Circe*, *Calypsone*, & hâc *Leucotheâ*, videtur ideò dici; quòd hæ Deæ non utique *Cœlestes* essent, verùm *Terrestres*, aut certè *sublunares*: quare ἐδήεσσα non est hìc prorsus nihili habenda. Vox enim αὐδήεσσα æquè ad Cœlestes Deas refertur; quod semel hìc monco: est αὐδήεις, qui

VARIÆ LECTIONES.

333. Τόνδε ἴδεν) *γρ.* τόνδ' εἶδεν, *H. Steph.*

334. Αὐδήεσσα) *γρ.* ἐδήεσσα, *Br. Schol.* vid. Not. in *Textum*.

335. Θεῶν ἐξ ἔμμορε) *γρ.* θεῶν ἐξέμμορε, *Florentin. Lovan.* & *Br. Schol.*

337. Ποτῇ) *γρ.* ποτὶ, *Eustath.* MSS. *GC.* & *Aloysii*, *Br. Schol. H. Steph.*

338. Πολυδέσμου, εἶπέ τι μῦθον) *γρ.* καί μιν ὧδε μῦθον ἔειπεν, *Florentin. Lovan. Aldin.* & *H. Steph.*

342. Ἔρξαι) *γρ.* ἔρξον, *H. Steph.*

346. Στέρνοιο) *γρ.* στέρνοισι, *H. Steph.*

Ἄμβροτον· οὐδέν τοι παθέειν δέος, οὐδ' ἀπολέσθαι.
Αὐτὰρ ἐπὴν χείρεσσιν ἐφάψεαι ἠπείροιο,
Ἂψ ἀποδυσάμενος βαλέειν εἰς οἶνοπα πόντον,
Πολλὸν ἀπ' ἠπείρου, αὐτὸς δ' ἀπὸ νόστιμα τεκμαίρεσθαι·
Ὣς ἄρα φωνήσασα θεὰ κρήδεμνον ἔδωκεν,
Αὐτὴ δ' αὖ ἐς πόντον ἐδύσατο κυμαίνοντα,
Αἰθυίῃ εἰκυῖα· μέλαν δέ ἑ κῦμα κάλυψεν.
Αὐτὰρ ὁ μερμήριξε πολύτλας δῖος Ὀδυσσεύς,
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν,
Ὤ μοι ἐγώ, μήπως μοὶ ὑφαίνησιν δόλον ἄλλον
Ἀθανάτων, ὅτε μὲ σχεδίης ἀπέλεσθαι ἀνώγῃ.
Ἀλλὰ μάλ' οὔπω πείσομ'· ἐπεὶ ἑκὰς ὀφθαλμοῖσι
Γαῖαν ἐγὼν ἰδόμην, ὅθι μοὶ Φάτο φύξιμον εἶναι.
Ἀλλὰ μάλ' ὧδ' ἔρξω, δοκέῃ δέ μοι εἶναι ἄριστον·
Ὄφρ' ἂν μὺν κεν δέρατ' ἐν ἁρμονίῃσιν ἀρήρῃ,
Τόφρ' αὐτῇ μνέων ἠ τλήσομαι ἄλγεα πάσχων·
Αὐτὰρ ἐπὴν δή μοι σχεδίην ἀφὸ κῦμα πνάξῃ,
Νήξομ'· ἐπεὶ οὐ μὺν πάρα φαινομένη ἀμείνων.
Ἕως ὁ ταῦθ' ὥρμαινε κατ' φρένα ἠ κατ' θυμόν,
Ὦρσεν ἐπὶ μέγα κῦμα Ποσειδάων ἐνοσίχθων,
Δεινόν τ', ἀργαλέον τε, κατηφέα· ἤλασε δ' αὐτόν.
Ὡς δ' ἄνεμος ζαὴς ἠΐων θημῶνα πνάξῃ

" Immortalem, neque tibi sic pati timor, neque perire.
" Porrò postquam manibus contigeris littus,
" Rursus resolvens projice in nigrum pontum,
" Longe à continente, ipse insuper seorsum aversus sis.
Sic utique loquuta dea vittam dedit;
Ipsa verò rursus in pontum ingressa est fluctuantem,
Mergo adsimilis; nigerque ipsam fluctus obtexit.
Cæterùm ipse hæsitabat perpessitius divus Ulysses,
Ingemiscensque dixit ad suum magnanimum animum,
" Heu mihi, nè quis mihi struat dolum alium
" Immortalium, quando me à rate descendere jubet.
" Veruntamen minimè parebo; quoniam longè ab oculis
" Terram ego vidi, ubi mihi dixit effugium esse:
" Sed sic faciam, videtur verò mihi esse optimum:
" Quamdiù sanè ligna in compagibus compacta persisterint,
" Tamdiù hic manebo & sustinebo dolores patiens:
" Cæterùm postquam mihi ratem fluctus discusserit,
" Natabo; nam nihil est in promptu excogitare commodius.
Dum ille hæc cogitabat in mente & in animo,
Excitavit ingentem fluctum Neptunus terræ-quassator,
Horrendúmque, gravem, & excelsum: impulit etiam ipsum.
Veluti autem ventus vehementer-spirans palearum arcervum conquassat

Σ Χ Ο Λ Ι Α.

348. Ἐφάψεαι.] Ἐπιλάβῃ.
350. Πολλὸν ἀπ' ἠπείρου.] Ἵνα μὴ τὸ κῦμα σκεδάσῃ.
356. Ὑφαίνησιν.] Καταστευάζῃ.
358. Πείσομαι.] Πειθήσομαι.
359. Φύξιμον.] Φυκτόν.
360. Ἔρξω.] Ποιήσω.
361. Ἀρήρῃ.] Ἥρμοσται.
364. Νήξομαι.] Κολυμβήσω. Οὐ μὴν τι πάρεστι κρεῖττον ἀμείνων.] * Τοῦτο κρεῖττόν ἐστι μὴ πάρεστι νοῆσαι.
365. Ὥρμαινε.] Διενοεῖτο.
367. Κατηφέα.] Ὑψηλὸν, ἐπισφαλμένον καὶ καταπεπαλυμένον αὐτόν.
368. Ζαὴς.] Μεγάλως πνέων, πολύπνους. Ἠΐων.] Ἀχύρων, παρὰ τὸ ἰέναι ἐκ φέρεσθαι πολλοὶ ὁ καὶ τὰ βραίμασι καὶ ἐφόδια. Θημῶνα.] Σωρόν.

N O T Æ.

humanâ voce præditus, articulatè loquitur, ut ζ'. v. 125. Item *Canorus*, ut *Hesiod.* Μουσάων, αἵ τ' ἄνδρα πολυφραδέοντα πρῆσσι, θέσπιον, αὐδήεντα.

365. Ἕως ὁ) *Amphibrachys*, loco *Spondæi*, aut *Dactyli*, ut ad *Iliad.* α'. v. 193. Vid. ad *Var. Lect.*

368. Ἠΐων) Hæc vox διανάβας consideranda, τετσυλλάβως scribenda, ut v. 266.

NOTÆ IN SCHOLIA.

364. Οὐ μὴν τι πάρα φαινομένη ἀμείνων) * Τοῦτο κρεῖττόν ἐστι μὴ πάρεστι νοῆσαι. Hæc Verba cùm in *Aloysii* essent MSto, plenius exhibui *Textum*, ut utrinque essent Paria.

V A R I Æ L E C T I O N E S.

356. Ἄλλον) γρ. αὖτε, *Florent. Aldin.* & *H. Steph.* Editt. & *H. Steph.* Cætera, ut nos.
359. Φύξιμος) γρ. Φεύξιμος, MS. GC. & MS. *Aloysii.* 365. Ὦρσεν ἐπὶ) γρ. ἔρσε δ' ἐπὶ, tum verò τὸ ἦ παείλκῃ, Omnes ferè Codd.

Καρφα-

Καρφαλέων, τὰ μὲν ἄρ τε διεσκέδασ' ἄλλυδις ἄλλη·
Ὡς δ' αὖθ' ἕρματα μακρὰ διεσκέδασ'· αὐτὰρ Ὀδυσσεὺς
Ἀμφ' ἑνὶ δούρατι βαῖνε, κέλητ' ὡς ἵππον ἐλαύνων,
Εἵματα δ' ἐξαπέδυνε, τά οἱ πόρε δῖα Καλυψώ.
Αὐτίκα δ' ἱμάσθη μέγα φρόνιος ταύροιο·
Αὐτὰρ ὃ πρηνὴς ἀλὶ κάππεσε, χεῖρε πετάσας,
Νηχέμεναι μεμαώς· ἴδε δ' ἀρείων Ἐνοσίχθων,
Κίνησας δ' κάρη γρυτὶ ὃν μυθήσατο θυμόν,
Οὕτω νῦν κακὰ πολλὰ παθὼν ἁλόα κῆτ' πόντον,
Εἰσόκεν ἀνθρώποισι διοτρεφέεσσι μιγείης·
Ἀλλ' οὐδ' ὥς σε ἔολπα ὀιόσεσθαι κακότητος.
Ὣς ἄρα φωνήσας, ἵμασεν καλλίτριχας ἵππους,
Ἵκετο δ' εἰς Αἰγὰς, ὅθι οἱ κλυτὰ δώματ' ἔασιν.
Αὐτὰρ Ἀθηναίη, κούρη Διός, ἄλλ' ἐνόησεν·
Ἤτοι τοὺς ἄλλων ἀνέμων κατέδησε κελεύθους,
Πάσασθαι δ' ἐκέλευσε καὶ βλησθῆναι ἅπαντας·
Ὦρσε δ' ἐπὶ κραπνὸν Βορέην, προὔ δ' κύματ' ἔαξεν,
Ἕως ὅγε Φαίηξιν φιληρέτμοισι μιγείη
Διογενὴς Ὀδυσσεὺς, θάνατον καὶ κῆρας ἀλύξας.
Ἔνθα δύω νύκτας, δύο δ' ἤματα κύματι πηγῷ
Πλάζετο· πολλὰ δέ οἱ κεφαλὴ προθόοντι ὄλεθρον.

Aridarum, quas quidem diſſipat alias aliò:
Sic ipſius tabulata longa diſperſit: porrò Ulyſſes
In unum lignum conſcendit, celeten ut equũ *divaricat. tibiis* impellens:
Veſtes verò exuit, quas ei præbuit diva Calypſo.
Statimque vittam ſub pectus extendit:
Et ipſe pronus in mare cecidit, manus extendens,
Natare cupidus; vidit verò potens rex Neptunus,
Movéaſque caput ad ſuum loquutus eſt animum,
" Sic nunc mala plurima paſſus erra per mare,
" Donec ad homines à-Jove-nutritos accedas:
" Sed neque ſic te ſpero floccifacturum ærumnas *tuas*.
Sic certè loquutus impulit pulchricomos equos;
Perveniſque ad Ægas, ubi ei inclytæ ædes ſunt.
Cæterùm Pallas, filia Jovis, alia cogitavit;
Atque aliorum ventorum obſtruxit vias;
Quieſcere verò juſſit, & conſopiri omnes:
Excitavit tamen velocem Boream, cùm fluctus priùs fregerat,
Donec ipſe Phæacibus rei-nauticæ ſtudioſis miſceretur
Inclytus Ulyſſes, morte & fato evitato.
Hìc duas noctes, duóſque dies in fluctu nigro
Errabat: ſæpéque ei cor ante oculos proponebat mortem.

ΣΧΟΛΙΑ.

369. Καρφαλέων.] Ξηρῶν. Διεσκέδασεν.] Διεσκόρπισεν. Ἄλλυδις ἄλλη.] Ἄλλα ἀλλαχόσε.

371. Κέλητ' ὡς ἵππον.] Ὡς κέλης, ὃ ἐστιν ὁ ἄζευκτος ἵππος. Βαίνει.] Περιβαίνεται. Κέλητος.] Μόνου ἵππου.

372. Ἐξαπέδυνεν.] Ἀπεδύσατο.

374. Πρμὴς.] Ἐπὶ πρόσωπον.

375 Νηχέμεναι.] Νήχεσθαι, κολυμβᾶν.

377. Ἁλόα.] Πλαοῦ.

379. Ὀιόσεσθαι κακότητος.] Ἐξυπλήσειν τὴν κάκωσιν, ἢ μέμψασθαι.

381. Αἰγὰς] Πόλιν τῆς Ἀχαΐας· οἱ δὲ νῆσον φασὶ τὴν Εὐβοϊκὴν, ἱερὰν Ποσειδῶνος.

383. Κατέδησε.] Κατέσχεν, *ἔπαυσεν. Κελεύθους.] Νῦν τὰς πνοάς.

385. Κραιπνόν.] Ταχὺν, ἢ ὀξύν. Προὔ δ' κύματ' ἔαξεν.] Κατέαξε τὰ τῶν ἄκρων *ἀνέμων κύματα· ἐπιφερῆ γὰρ, μεγάλα ὑπὸ κύματος ἀρθέντα.

388. Πηγῷ.] Οἱ μὲν γλωσσογράφοι, μέλανι καὶ ἰχυρᾷ· πῶς δὲ γαληναίῳ κρεῖσσον ἦν, εὐπαγεῖ καὶ εὐτραφεῖ ἐοικέναι;

389. Πλάζετο.] Ἐπλανᾶτο. προσεπίλαζε τῇ γῇ. Προπόσεσθ' ὀλέθρου.] Ἐν ὀφθαλμοῖς γὰρ φανερῶς εἶχε τὸν ἑαυτοῦ ἀπόλεσιν.

NOTÆ.

371. Κέλητ' ὡς ἵππον ἐλαύνων) De *Celete* Equo, Nos plura, *Pindar.* Prælect. IX. ferè ad finem.

NOTÆ IN SCHOLIA.

383. *Ἔπαυσεν) Pro ἔπαισεν lego, ex MSS.

385. Vocem *ἀνέμων, quæ haſtenùs deſiderabatur, reſtituo, ex *Euſtath.* fol. 1544. lin. 43. Ἤτοι τοὺς ἄκρων ἀνέμων κατέδησε κελεύθους, τουτέστι, κύματα ὑπὸ αὐτῶν ἐγηρθέντα, καὶ πνοὰς αὐτῶν· μόνον τὸν Βορέαν εἴασεν ἔτι πνέειν. Confer ipſum *Poet.* v. 383.

389. Γὰρ, pro καὶ, lego.

VARIÆ LECTIONES.

369. Ἄλλη) γρ. ἄλλη, vid. Not in *Schol.* ad v. 71.

385. Κύματ' ἔαξεν) γρ. κύματα ἄξεν, *Dionyſ. Halic.* Vit. *Hom.*

386. Ἕως ὅγε) γρ. ἕως ὅτε, *H. Steph.* &, ὡς ὅτε.

388. Δύο δ') γρ. δύο τ', *H. Steph.*

Ἀλλ'

390 Ἀλλ' ὅτε δὴ τρίτον ἦμαρ ἐϋπλόκαμος τέλεσ' ἠώς,
Καὶ τότ' ἔπειθ' ἄνεμος μὲν ἐπαύσατο, νηδὲ γαλήνη
Ἔπλετο νηνεμίη· ὁ δ' ἄρα σχεδὸν εἰσιδε γαῖαν,
Ὀξὺ μάλα προϊδών, μεγάλου ὑπὸ κύματος ἀρθείς.
Ὡς δ' ὅταν ἀσπάσιος βίοτος παίδεσι φανείη
395 Πατρὸς, ὃς ὀν νόσῳ κεῖται κρατερὰ ἄλγεα πάσχων,
Δηρὸν τηκόμενος, στυγερὸς δέ οἱ ἔχραε δαίμων,
Ἀσπάσιον δ' ἄρα τόν γε θεοὶ κακότητος ἔλυσαν·
Ὡς Ὀδυσῆι ἀσπαστὸν ἐείσατο γαῖα καὶ ὕλη·
Νῆχε δ', ἐπειγόμενος ποσὶν ἠπείρου ἐπιβῆναι·
400 Ἀλλ' ὅτε τόσσον ἀπῆν, ὅσσον τε γέγωνε βοήσας,
Καὶ δὴ δοῦπον ἄκουσε ποτὶ σπιλάδεσι θαλάσσης·
Ῥόχθεε γὰρ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο
Δεινὸν ἐρευγόμενον· εἴλυτο δὲ πάντ' ἀλὸς ἀχνὴ·
Οὐ γὰρ ἔσαν λιμένες, νηῶν ὄχοι, οὐδ' ἐπίωγαί,
405 Ἀλλ' ἀκταὶ προβλῆτες ἔσαν, σπιλάδες τε, πάγοι τε.
Καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ,
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν,
Ὤ μοι· ἐπειδὴ γαῖαν ἀελπέα δῶκεν ἰδέσθαι

Sed quando jam tertiam diem pulchricoma adduxit aurora,
Deinde tunc ventus quidem quievit, atque serenitas
Erat tranquilla; ipse verò propè conspexit terram,
Valdè acutè prospiciens, à magno fluctu levatus.
Ut autem desiderata vita filiis appareat
Patris, qui morbo decumbit immeasos dolores patiens,
Diù contabescens, infestus autem ei ingruit deus:
Optatò quidem hunc dii à morbo liberârunt:
Sic Ulyssi optatò apparuit terra & sylva.
Natabat verò, nitens pedibus continentem conscendere;
Sed cùm tantum abesset, quantum auditur clamans,
Illicò sonitum audivit ad scopulos maris,
Murmurabat enim ingens fluctus ad aridam continentis
Horrendùm eructans, obducta verò erant omnia maris aspergine:
Non enim erant navium portus capaces, neque secessus,
Sed littora projecta erant, scopulique saxaque.
Tunc Ulyssi soluta sunt genua & charum cor,
Ingemiscensque dixit ad suum magnanimum animum,
" Heu mihi; postquam terram insperatam dedit videre

Σ Χ Ο Λ Ι Α.

392. Νηνεμίη.] Ἥσυχος, χωρὶς πνοῆς.
393. Ἀρθείς.] Ἐπαρθείς, κυφιωθείς.
394. Βίοτος.] Βίος, ζωή.
395. Κρατερά.] Ἰσχυρά. Ἄλγεα.] Νῦν ὀδύνας.
396. Ἔχραε.] Ἐπέσκηψεν, ἢ ἐπιβάρησεν, ἢ μᾶλλον ἐπῆλθεν.
397. Κακότητος.] Τῆς κινδύνου τοῦ νόσου.
398. Ἀσπαστόν.] Ἐπιθυμητόν.
399. Νῆχε.] Ἐνήχετο, σκολύμβα.
400. Ἀπῆν.] Ἀφειστήκει. Ὅσσον τε γέγωνε βοήσας.] Ὥστε ἐξακούειν γυμνὸν βοήσαντα.
401. Σπιλάδεσι θαλάσσης.] Ὑφάλοις πέτραις.
402. Ῥόχθεε.] Ποιὸν ἦχον ἀπετέλει. Ποτὶ ξερὸν ἠπείροιο.] Πρὸς τὸ ξηρὸν τῆς γῆς· λείπει δὲ τὸ πετρῶδες τῆς ἀκτῆς.
403. Ἐρευγόμενον.] Μετὰ ἤχου ἀποβάλλον, * ἐκβρασσόμενον. Εἴλυτο.] Ἐκαλύπτετο. Ἀλὸς ἀχνὴ] Τῇ λεπτομερεστάτῃ δὲ ἀφρῷ, ἢ τῇ ἀκροθαλασσίᾳ.
404. Νηῶν ὄχοι.] Οἱ συνέχοντες τὰς ναῦς· ἢ ἐφ' ὧν ὀχοῦνται καὶ ἀναπαύονται αἱ νῆες. Ἐπίωγαί.] Οἱ αἰγιαλοὶ ὀκίμβλῳ ἔχοντες τόπον· ἢ αἱ ἐξοχαὶ ἢ οἱ πλατεῖς αἰγιαλοί.
405. Ἀκταί.] Ἐξοχαί. Προβλῆτες.] Αἱ προβεβλημέναι τῆς θαλάσσης πέτραι. Σπιλάδες] Αἱ διεχισμέναι καὶκοιλωμέναι πέτραι, ὑπὸ τῆς πλήξεως τῶν κυμάτων. Πάγοι.] Οἱ ὀξεῖς τόποι, αἱ πετρώδεις ἐξοχαί, ἢ εἰς ὕψος ἀνέχουσαι πέτραι, ἀναπεφυκότες τόποι.
408. Ἀελπέα.] Ἀνέλπιστον.

N O T Æ.

402. Ξερὸν ἠπείροιο) Pro ξηρὸν, per *Ionicam* συναλοιφὴν, ut *Anacreon*, v. 1267. ῥίγος, pro ῥῆγος, & v. 1272. λοπὸς, pro λῶπος.

403. Εἴλυτο δὲ πάντ' ἀλὸς ἀχνὴ) Cùm ab omnibus *Scholiastis* ἀχνὴ exponatur, ut *Dativus*, & πάντα sit *Nominativus*, mirum, à Nemine hactenùs scriptum, ut *Dativum*; quod nunc fieri curatum à nobis.

406. Καὶ τότ' Ὀδυσῆος) Vid. ad v. 297.

NOTÆ IN SCHOLIA.

403. * Ἐκβρασσόμενον lego, pro corrupto ἐκβαζόμενον, ex 2 MSS.

404. Σκέπας, pro σκέπλην, lego, ex *Aloysio*.

Variæ Lectiones.

397 Ἀσπάσιον) γρ. ὡσπαίσιον. *Florent. Lov. H. Steph.*
398. Ὀδυσῆι) γρ. Ὀδυσεῖ, ut σ'. v. 157.
403. Ἄχνη) γρ. ἄχνη, vid. Not. in *Textum*.
406. Λύτο) γρ. λῦτο, vid. suprà, ad v. 297.

Ζεὺς,

Ζεὺς, ἠ δὴ τόδε λαῖτμα διαμήξας ἐπέρησα,
Ἔκβασις ὅππη φαίνεθ' ἁλὸς πολιοῖο θύραζε·
Ἔκτοθεν μὲν γὰρ πάγοι ὀξέες, ἀμφὶ δὲ κῦμα
Βέβρυχεν ῥόθιον, λιαὴ δ' ἀναδέδρομε πέτρη,
Ἀξίβαθὴς δὲ θάλασσα· ἠ ὅππως ἐπὶ πόδεσσι
Στήμμαι ἀμφοτέροισι, ἠ ἐκφυγέειν κακότητα,
Μήπως μ' ἐκβαίσασα βάλῃ λίθακι ποτὶ πέτρῃ
Κῦμα μέγ' ἁρπάξαν, μελέη δέ μοι ἔσσετ' ὁρμή.
Εἰ δέ κ' ἔπι ποσσὶν παραμήξομαι, ἤν πῃ ἐφεύρω
Ἠϊόνας τε παραπλῆγας, λιμένας τε θαλάσσης,
Δείδω, μή μ' ἐξαῦτις ἀναρπάξασα θύελλα
Πόντον ἔπ' ἰχθυόεντα φέρῃ, βαρέα τενάχουσα,
Ἦ ἔπι μοὶ ἠ κῆτος ἐποτρύνῃ μέγα δαίμων
Ἐξ ἁλὸς, οἷά τε πολλὰ τρέφει κλυτὸς Ἀμφιτρίτη·
Οἶδα γὰρ, ὡς μοι ὀλώδυσατο κλυτὸς Ἐνοσίγαιος.
Ἕως ὁ ταῦθ' ὥρμαινε κατ' φρένα ἠ κατ' θυμὸν,
Τοφρά δὲ μὶν μέγα κῦμα φέρεν τρηχεῖαν ἐπ' ἀκτήν.
Ἔνθ' ἀπὸ ῥινός τε δύφθη, σύν τ' ὀστέ' ἀράχθη,
Εἰ μὴ ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη·
Ἀμφοτέρῃσι δ' χερσὶν ἐπεστύμβη λάβε πέτρης,
Τῆς ἔχετο τενάχων, εἷως μέγα κῦμα παρῆλθε.

"Jupiter, atque adeò has undas sulcans penetravi,
"Egressus nusquam apparet ex mari cæco foras:
"Extra enim saxa acuta, undique etiam fluctus
"Fremit impetuosus, planáque eminet petra:
"Propè autem profundum mare; &c. nullo modo licet pedibus
"Consistere ambobus, & effugere arumnas,
"Nè fortasse egredientem jactet ad lapidosam rupem
"Fluctus magnus abripiens, vanus verò mihi erit conatus.
"Sin adhuc ultrà natabo, si alicubi inveniam
"Littoráque obliqua, portusque maris,
"Vereor, nè me rursus abripiens procella,
"Pontum in piscosum auferat, gravitèr ingemiscentem;
"Aut etiam mihi & cetus immittat magnum deus
"Ex mari, qualia plurima nutrit clarus Amphitrite:
"Novi enim, quàm mihi infensus est inclytus Neptunus.
Dum ille hoc deliberabat in mente & in animo,
Interea ipsum magnus æstus tulit ad asperum littus.
Ibi sanè cutis esset lacerata, simúlque ossa fracta,
Nisi in mentem indidisset dea cæsia Minerva:
Ambabus igitur manibus irruens apprehendit petram,
Quam amplectebatur ingemiscens; donec ingens fluctus præteriisset.

ΣΧΟΛΙΑ.

412. Βέβρυχεν.] Ἠχεῖ, βοᾷ, βρέμει, βρυχᾶται. Ῥόθιον.] Ἀπὸ τῆς κυκλώσεως ἤγουν τὸ συμφαινόμενον, ἢ ῥοίζῳ φερόμενον. ἠ ἁρμηλιόν. Λιαὴ] Ἡ λεία ἢ ὁμαλή. Ἀναδέδρομε.] Ἀνατείνει, αἴνησιν εἰς ὕψος.

413. Ἀξίβαθὴς.] Ἡ ἐγγὺς τῆς γῆς βαθὺς ἔχουσα.

415. Λίθακι.] Διχῶς πέτρᾳ· ὑποπλωκυίᾳ τῇ θαλάσσῃ, ἢ ἐξεχούσῃ.

416. Μελέη.] Ματαία.

418. Ἠϊόνας] Α χαλεῖς. Παραπλῆγας.] Τὰς ὑπλαγίας ἠ ὑχὶ ἀπαρὰ, ἢ ὁμαλὰς τόπους· παῖς ὃ τὰς ἀπὸ κυμάτων παραπλησιομένους λιμένας, ἐπηβολικῶς.

419. Θύελλα.] Ἀνέμων συστροφή.

420. Σπεράχουσα.] Σπεράζουσα.

422. Ἀμφιτρίτη.] Ἀπὸ δὲ δαίμονος ἡ θάλασσα.

423. Ὠδύσατο.] Κεχόλωται. ὠργίσθη.

426. Ῥινός.] Δίρμα. Δρύφθη.] Ἀπεδάρη, ἐξεσπάσθη. ἐξιόθη. Ἀράχθη.] Σωστέλβει ἢ ἐρράγη.

428. Ἐπεστύμβη.] Ἐφορμήσας. Λάβε.] Ἔπιασε λαβέσθαι.

429. Σπεράχων.] Σπεράζων.

NOTÆ.

416. Ἔνθ' ἀπὸ ῥινός τε] *Florentina* Lectio, de quâ ad *Var. Lect.* nequaquam stabit, nisi vel τὲ rejiciatur, vel prior δὲ ἀπὸ ῥύφθη *communis* fiat: alias ῥινὸς admitti poterit, cum τῇ καὶ subintellecto, ut τὸ ὀστέον quoque; & *Lectio* erit minimè contemnenda; & paulò pòst, v. 435. Ῥινοὶ ἀπεδύφθεν.

NOTÆ IN SCHOLIA.

415. Ὑποπλωκυίᾳ, lego, pro ὑποπλωμίνῃ, ex 2 MSS.

418. Παραπλῆγας) Hoc *Scholion* emendo & suppleo, ex *Aloysii* MS.

VARIÆ LECTIONES.

415. Λίθακι ποσὶ πέτρῃ) γρ. λίθακι ποτὶ πέτρῃ, non æquè bene.

416. Ἔνθ' ἀπὸ ῥινός τε δρύφθη) γρ. ἴσθι κ' ἀπὸ ῥινὸς τὲ δρύφθη, *Florent. Aldin. Lovan. Hervag.* Vid. Not. in *Textum.* *Ibid.* Σύν τ' ὀστέ' ἀράχθη) γρ. σὺν δ' ὀστέ' ἀράχθη. Edit. *Eustathii Romana.*

Καὶ

Καὶ τὸ μὲν ὣς ὑπάλυξε· παλιῤῥόθιον δέ μιν αὖτις
Πλῆξεν ἐπεσσύμενον, τηλῦ δέ μιν ἔμβαλε πόντῳ.
Ὡς δ' ὅτε πτελύποδος, θαλάμης ἐξελκομένοιο,
Πρὸς κοτυληδονόφιν πυκιναὶ λάϊγγες ἔχονται·
Ὣς τῦ ποδὸς πέρηισι θρασειάων ἀπὸ χειρῶν
Ῥινοὶ ἀπέδρυφθεν· τὸ δὲ μέγα κῦμα κάλυψεν.
Ἔνθα κε δὴ δύσμορος ὑπὲρ μόρον ὤλετ' Ὀδυσσεύς,
Εἰ μὴ ἐπιφροσύνῃσι δῶκε γλαυκῶπις Ἀθήνη·
Κύμαλος ἐξαναδύς, τά τ' ἐρεύγεται ἤπειρόνδε,
Νῆχε παρὲξ ἐς γαῖαν ὀρώμενος, εἴπῃ ἐρεύροι
Ἠϊόνας τε παραπλῆγας, λιμένας τε θαλάσσης.
Ἀλλ' ὅτε δὴ ποταμοῖο κατ' ὦμα καλλιρόοιο
Ἷξε νέων, τῇ δή οἱ ἐείσατο κῶς ἄριστος,
Λεῖος πετράων, καὶ ἐπὶ σκέπας ἦν ἀνέμοιο·
Ἔγνω δὴ προσρέοντα, καὶ εὐξάμενος κατὰ θυμὸν,
Κλῦθι, ἄναξ, ὅστις ἐσσί· πολύλλιτον δέ σ' ἱκάνω,
Φεύγων ἐκ πόντοιο Ποσειδάωνος ἀπειλάς.
Αἰδοῖος μὲν τ' ἐστὶ καὶ ἀθανάτοισι θεοῖσιν,
Ἀνδρῶν ὅστις ἵκηται ἀλώμενος, ὡς καὶ ἐγὼ νῦν
Σόν τε ῥόον, σά τε γούναθ' ἱκάνω, πολλὰ μογήσας.

Et hunc sic effugit: revertens autem fluctus ipsum rursus
Percussit irruens, longéque ipsum injecit ponto.
Sicut Polypodis, è suo domicilio extracti,
Acerabulis multi lapilli adhærescunt:
Sic hujus ad scopulum fortibus à manibus
Cutis lacerata erat; hunc verò ingens fluctus obtexit.
Ibi tandem infelix præter fatum obiisset Ulysses,
Nisi prudentiam indidisset cæsia Minerva:
Ex fluctu emergens, quà propellitur ad littus,
Præternatabat in terram circumspiciens, ficubi inveniret
Littoraque fluctibus percussa, portúsque maris:
Sed quando nunc fluvii ad ostia pulchrifluentis
Pervenit natans, ubi ei visus est locus optimus,
Æquabilis & vacuus à petris, & receptio erat à ventis;
Agnovit fane profluentem, & supplicavit suo in animo,
" Audi, rex, quisquis es; exoptatissimum enim ad te venio,
" Fugiens ex ponto Neptuni minas.
" Venerabilis quidem est etiam immortalibus diis,
" Ex hominibus quicunque venerit errans, quemadmodum ego nunc
" Ad tuum fluentum, tuáque genua accedo, plurima passus.

ΣΧΟΛΙΑ.

430. Ὑπάλυξεν.] Ἐξέφυγεν. Παλιῤῥόθιον.] Παλινόρμητον, εἰς τὰπίσω φερόμενον, ὃν δ' ἀντικρὺ ῥοιζῶς.
431. Ἐπεσσύμενον.] Ἐπελθὸν τὸ κῦμα.
432. Πτελύποδος.] Τῦ ὀκτάποδος· εἶδος δὲ ἰχθύος ὁ ὀκτάπους. Θαλάμης.] Φωλεᾶς, καβάσεως.
433. Πρὸς κοτυληδονόφιν.] Πρὸς ταῖς κοτυληδόσι. κοτυληδόνες δέ εἰσιν αἱ τῶν πολύποδος πλεκτάναι, συνεπῶς δὲ * προσβάλλει. Πυκναί.] Πυκναὶ, συνεχεῖς. Λάϊγγες.] Μικραὶ λιθάρια, ἢ μικραὶ ψῆφοι.
435. Ῥινοί.] Τὰ δέρματα. Ἀπέδρυφθεν.] Ἀπεδρύφθησαν, ἀπεσπάσθησαν, ἀπεξέσθησαν.
436. Δύσμορος.] Ἀθλιος.
437. Ἐπιφροσύνῃσι.] Σύνεσιν, ἐπίνοιαν.
438. Ἐξαναδύς.] Ἀναλθών. Ἐρεύγεται.] Μετ' ἦχου προσφέρεται.
441. Στόμα.] Τῷ εἴσοδον. Καλλιρόοιο.] Καλὰ ῥεύματα ἔχοντος.
442. Ἷξε.] Ἀφίκετο, παρεγένετο. Χῶς.] Τόπος.
443. Σκέπας.] Σκέπη.
444. Ἔγνω.] Ἐθαύμασε· ἢ ἤδεσε.
445. Πολύλλιτον.] Πολυλιτάτευτον.
446. Ἐπειλάς.] Ἀπειλάς.
448. Ἱκάνω.] Ἱκετεύω.
449. Ἱκάνω.] Αντὶ δὲ ἱκετεύω.

NOTÆ.

445. Κλῦθι, ἄναξ, ὅς' ἐσσὶ) *Florent. Aldin. Lovan.* & *Hervagian.* ὅστις ἐσσὶ legunt, & *Christoph. Wase*, de *Senario*, c. 2. p. 13. defendit, nescius, ὅπις dici posse ποινηλικώτερον, ut notamus ad *Iliad.* γ'. v. 279. Verùm *H. Stephanus* hìc legit, ὅς' ἐσσί.

NOTÆ IN SCHOLIA.

433. Πρὸς κοτυληδονόφιν) In fine *Scholii*, * προσβέβληκε, lego, ex MS. GC. pro προσβίβληκε.

VARIÆ LECTIONES.

445. Ὅς' ἐσσὶ) γρ. ὅστις, & ὅπις, vid. Not. in *Textum*. *Ibid.* Πολύλλιτον) γρ. πολύλλιτος olim in pluribus; verùm *Eustathius*, & *H. Stephan.* Lectionem πολύλλιτον agnoscunt, & *Seberus*, MS. *Schol. Aloysii*, *Br. Schol.* Edit. *Aldin. Hervag.* & *Hesychius*, Sensu etiam postulante.

Ἀλλ'

Ἀλλ' ἐλέαιρε, ἄναξ· ἱκέτης δέ τοι εὐχομαι εἶναι.
Ὣς φάτ'· ὁ δ' αὐτίκα παῦσεν ἑὸν ῥόον, ἔσχε δὲ κῦμα·
Πρόσθε δέ οἱ ποίησε γαλήνιον· ᾧ δ' ἐσάωσεν
Εἰς ποταμοῦ προχοάς· ὁ δ' ἄρ' ἄμφω γοῦνα ἔκαμψε,
Χεῖράς τε στιβαρὰς· ἀλὶ γὰρ δέδμητο φίλον κῆρ.
Ὠίδησε δὲ πόντος· θάλασσα δὲ κήκιε πολλὴ
Ἂν δόμα τε, ῥῖνάς τε· ὁ δ' ἄπνευστος καὶ ἄναυδος
Κεῖτ' ὀλιγοπελέων, κάματος δέ μιν αἰνὸς ἵκανεν.
Ἀλλ' ὅτε δὴ ῥ' ἄμπνυτο καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
Καὶ τότε δὴ κρήδεμνον ἀπὸ ἕο λῦσε θεοῖο·
Καὶ τὸ μὲν ἐς ποταμὸν ἁλιμυρήεντα μεθῆκεν,
Ἄψ δ' ἔφερεν μέγα κῦμα κατὰ ῥόον· αἶψα δ' ἄρ' Ἰνὼ
Δέξατο χερσὶ φίλῃσιν· ὁ δ' ἐκ ποταμοῖο λιασθείς
Σχοίνῳ ὑπεκλίνθη, κύσε δὲ ζείδωρον ἄρουραν·
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν,
Ὤ μοι ἐγώ, τί πάθω; τί νύ μοι μήσατα γένηται;
Εἰ μέν κ' ἐν ποταμῷ δυσκηδέα νύκτα φυλάξω,
Μή μ' ἄμυδις πίπτῃ τε κακὴ καὶ θῆλυς ἔέρση,
Ἐξ ὀλιγοπελίης, δαμάσῃ κεκαφηότα θυμόν·
Αὔρη δ' ἐκ ποταμοῦ ψυχρὴ πνέῃ ἠῶθι πρό.
Εἰ δέ κεν ἐς κλιτὺν ἀναβὰς καὶ δάσκιον ὕλην,

" Verum miserere, rex, supplex enim tibi esse profiteor.
Sic ait; ille continuò sedavit suum fluentum, continuit & fluctum:
Et ante eum fecit tranquillitatem, & servavit eum
Ad fluvii ostia: ille verò utrunque genu flexit
Manúsque fortes; mari enim affligatus erat eharum cor.
Tumebat verò corpore toto, mare autem manabat copiosum,
Per ósque narésque; ille adeò absque anhelitu & voce
Jacebat animo deficiens; vehemens etenim ipsum defatigatio invaserat.
Sed postquam respiravit, & in mente animus collectus est,
Tum cerè vittam à se solvit deæ,
Et ipsam fluvium in salsuginosum immisit,
Retro igitur *illam* ferebat ingens fluctus per aquæ-decursū: statimq; Ino
Suscepit manibus charis: ille verò ex fluvio secedens
Junco recubuit, osculatusque est almam tellurem.
Ingemiscens mox dixit ad suum magnanimum animum,
" Heu mihi, quid patiar? quid mecum tandem fiet?
" Siquidem in fluvio *per* difficilem noctem excubias egero,
" *Timeo*, nè me simul frigus malum & vegetans ros,
" Præ imbecillitate, conficiat afflictum animo;
" Aura enim ex fluviò frigida spirat matutino tempore.
" Si verò ad clivum conscendens & umbrosam sylvam

ΣΧΟΛΙΑ.

450. Ἐλέαιρε.] Ἐλέησον. Εὔχομαι.] Νῦν, λέγω.
451. Ἔσχε.] Ἐπέσχε, ἔπαυσεν.
453. Πρόσθε.] Τὰ εἰς θάλασσαν τῶν ποταμῶν στόμα· τὰς προχοάς.
454. Δέδμητο.] Ἐδεδάμαστο. Ἀλὶ γὰρ δέδμητο.] Τῇ θαλάσσῃ κατεπτοημένῃ ἦν.
455. Ὠίδησε.] Ἔνιοι, ᾄδησεν ὄγκῳ. Κήκιε.] Κατηφεῖ, ἀνεφέρετο.
456. Ἄπνευστος.] Μὴ ἀναπνέων. Ἄναυδος.] Ἄφωνος.
457. Ὀλιγοπελίων.] Ὀλιγοψυχῶν. Ἵκανεν.] Νῦν, συμβαίνει.
460. Ἁλιμυρήεντα.] Ἐπιθαλασσίδα, τὰ εἰς θάλασσαν
ἐξερευγόμενον. Μεθῆκεν.] Ἀφῆκεν.
462. Δέξατο.] Ἔλαβεν. Λιασθείς.] Χωρισθείς.
463. Σχοίνῳ.] Εἴδος πόας, ᾗ χοῖνος. Ὑπεκλίνθη.] Ἐπέπεσεν. Κύσε.] Καταφίλησεν.
466. Δυσκηδέα.] Χαλεπὴν, κακοπαθῆ.
467. Ἄμυδις.] Ὁμοῦ. Πίπτῃ τέ.] Ἡ πάχνη, καὶ ἀντίφρασιν, ἢ τὸ ἐωθινὸν ψῦχος. Θῆλυς.] Θαλερὸν. Ἔέρση.] Δρόσος.
468. Ὀλιγοπελίης.] Ὀλιγοψυχίας. Κεκαφηότα.] Ἐκπεπνευκότα, ἢ κεκακωμένον.
469. Αὔρη.] Πνοή. Ἠῶθι πρό.] Πρὸ ἡμέρας.
470. Κλιτύν.] Τὴν ὑψηλὴν πρόσβασιν ἢ ὄρους. Δάσκιον.] Δασύσκιον.

NOTÆ.

467. Θῆλυς ἔέρση) Vid. ad *Iliad.* ε'. v. 776.

NOTÆ IN SCHOLIA.

455. Ὠίδησε δὲ πόντος) Ἔνιοι ᾠδῆς οὐ ὄγκῳ, lego, Ἔνιοι, ᾄδησεν ὄγκῳ. Videtur autem sub voce ἔνιοι, *Varia Lectio* latere, ut Ἔνιοι, ὄγκῳ δὲ ᾠδήσασκε. Judicent alii.
457. Ὀλιγοψυχῶν) Lego, pro ὀλιγοψύχων.

VARIÆ LECTIONES.

455. Ὠίδησε δὲ) γρ. ᾄδησε, *Eustath.* fol. 1541. lin. 62. & ᾠδήσατο, *Br. Schol.* vid. Not. in *Schol.*

Θάμνοις ἐν πυκινοῖσι καθεσδέμεν, εἴ με μετείη
Ῥῖγος καὶ κάματος, γλυκερὸς δέ μοι ὕπνος ἐπέλθῃ,
Δείδω, μὴ θηρσὶν ἕλωρ καὶ κύρμα γένωμαι.
Ὣς ἄρα οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι·
Βῆ ῥ' ἴμεν εἰς ὕλην· τὴν δ' ἀχεδὸν ὕδατος εὗρεν
Ἐν περιφαινομένῳ, δοιὼ δ' ἄρ' ὑπήλυθε θάμνω,
Ἐξομόθεν πεφυῶτε· ὁ μὲν, φυλίης, ὁ δ' ἐλαίης.
Τὼ μὲν ἄρ' οὔτ' ἀνέμων διαΐσσει μάλα μάλοις ὑγρὸν ἀέντων,
Οὐδέποτ' ἠέλιος φαέθων ἀκτῖσιν ἔβαλλεν,
Οὔτ' ὄμβρος διαπέρησε· διαμπερές· ὡς ἄρα πυκνοὶ
Ἀλλήλοισιν ἔφυν ἐπαμοιβαδίς· ὃν ὑπ' Ὀδυσεὺς
Δύσετ'· ἄφαρ δ' εὐνὴν ἐπαμήσατο χερσὶ φίλῃσιν
Εὐρεῖαν· φύλλων γὰρ ἔην χύσις ἤλιθα πολλή,
Ὅσσον τ' ἠὲ δύω, ἠὲ τρεῖς ἄνδρας ἐρύσθαι
Ὥρῃ χειμερίῃ· εἰ καὶ μάλα πὴρ χαλεπαίνοι.
Τὴν μὲν ἰδὼν γήθησε πολύτλας δῖος Ὀδυσεύς,
Ἐν δ' ἄρα μέσῃ λέκτο, χύσιν δ' ἐπεχεύατο φύλλων·
Ὡς δ' ὅτε τις δαλὸν σποδιῇ ἐνέκρυψε μελαίνῃ,
Ἀγρῷ ἐπ' ἐσχατιῆς, ᾧ μὴ πάρα γείτονες ἄλλοι,

" Arbuſtis in denſis dormiero, etiamſi cetiet
" Frigus & laſſitudo, jucundus vero mihi ſomnus irrepat,
" Vereor, ne feris laceratio & præda fiam.
Sic ſanè ei deliberanti viſum eſt ſatiùs eſſe:
Feſtinabat ire ad ſylvam; hanc autem prope aquam invenit
In circumſpicuo loco; duo ſanè ingreſſus eſt arbuſta,
Una adnata; hoc quidem oleaſtri, alterum autem oleæ.
His neque ventorum perflat vis humida ſpirantium,
Neque unquam ſol lucens radiis percuſſit,
Neque imber penetrabat penitùs; ſic ſanè denſa
Invicem creverunt alternatim intertexta, quæ Ulyſſes
Subiit: ſtatim verò cubile meſſuit manibus ſuis
Latum: foliorum enim erat copia affatim ingens,
Quantum ad duos, vel tres viros tegendos *ſat eſſet*
Tempore hyberno, etiamſi potiſſimum ſæviat.
Illum quidem videns lætatus eſt patiens divus Ulyſſes;
In medio autem cubuit, copiámque ſuperingeſſit foliorum.
Quemadmodum cùm quiſpiam torrem cinere abſcondit nigro
In domo in agro longe-remoto *ſitâ*; cui non adſunt vicini alii,

ΣΧΟΛΙΑ.

471. Θάμνοις.] Δασέσι φυτοῖς. Καθεδεῖσθαι.] Καθεύδησαι, κοιμηθῆναι. Μετείη.] Εἴη.

474. Κίρδιον.] Ὠφέλιμον, κρεῖττον. Φρονέοντι.] Βουλευομένῳ.

476. Περιφαινομένῳ.] Περιεφαινομένῳ· ἐφ' ὃν τόπον οὐκ ἔστιν ὕλη, ἀλλὰ μόνον θάμνος· τὸ δὲ περὶ αὐτὸν, ψιλόν.

477. Ἐξομόθεν.] Ἐκ δὲ αὐτῆς τόπου. Πεφυῶτε.] Πεφυκότε, ἀναδεδομένω. Φυλίης.] Εἴδος ἐλαίας τῆς καλλιφύλλου, φυλίας.

478. Διαΐσσει.] Διαπνεῖ, δίεισιν. Ἀέντων.] Πνεόντων.

481. Ἔφυν.] Ὑπῆρχον, ἐπεφύκεσαν. Ἐπαμοιβαδίς.] * Ἐπιπεπλεγμένοι ἀναλλάξ.

482. Δύσετο.] Ἐπέδυ, εἰσεπήλθεν. Ἐπαμήσατο.] Ἐπεσπάσατο, ἐπεσώρευσεν, ἐπέβαλεν.

483. Χύσις.] Ἀθροισις, πλῆθος. Ἤλιθα.] Ἀθρόως, δαψιλῶς.

484. Ἐρύσθαι.] Ῥύσασθαι, σῶσαι, φυλάξαι.

485. Ὥρῃ χειμερίῃ.] Ἐν τῇ δὲ χειμερίῳ ὥρᾳ. Χαλεπαίνοι.] Χαλεπῶς κατὰ ῥίγους λέγεται.

487. Λέκτο.] Ἐκοιμᾶτο.

488. Δαλὸν.] Διάπυρον ξύλον. Σποδιῇ.] Κονίᾳ, σποδῷ.

489. Ἐπ' ἐσχατιῆς.] Ἐπ' ἐσχάτων μερῶν.

NOTÆ.

474. Δοάσσατο.] Ἐδόκησε. Vid. infrà ad ζ'. v. 242. in Δόασθε.

NOTÆ IN SCHOLIA.

481. * Ἐπιπλεγμένοι, pro corrupto ἐπιπλεγμένοι.

VARIÆ LECTIONES.

471. Εἰ μὲ) γρ. εἴ κε, *H. Steph.*

477. Ἐξομόθεν) γρ. ἐξ ὁμόθεν, *Euſtath.* fol. 240. lin. 21.

478. Διαΐσσει) γρ. ἀφῇ, *Dionyſ.* Halicarn. Vit. *Homeri*, §. 14. *Æolicumque* dicit, pro ἀφεῖ.

479. Οὐδέποτ' ἠέλιος) γρ. οὐδ' αὖ ἠέλιος, *H. Steph.*

482. Εὐνὴν) γρ. ὕλλον, *Euſtath.* fol. 240. lin. 8.

489. Ἐπ' ἐσχατιῆς) γρ. ἐπ' ἐσχατῇ, MS. *GC.*

Σπέρ-

490 Σπέρμα πυρὸς σώζων, ἵνα μή ποθεν ἄλλοθεν αὖοι·
Ὡς Ὀδυσεὺς φύλλοισι καλύψατο· τῷ δ' ἄρ' Ἀθήνη
Ὕπνον ἐπ' ὄμμασι χεῦε, ἵνα μιν παύσειε τάχιστα
*Δυσπονέος καμάτοιο, φίλα βλέφαρ' ἀμφικαλύψας.

Semen ignis servans, ut nè aliunde incendat:
Sic Ulysses foliis absconditus erat: huic sanè Pallas
Somnum in oculis fudit, ut ipsum *somnus iste* recrearet confestim
Ab anxio labore, charas palpebras abscondens,

Σ Χ Ο Λ Ι Α.

490. Σπέρμα πυρός.] Τὸν σπινθῆρα ἓ πυρός. Αὖοι.] Ἐξάπτοι.

492. Χεῦε.] *Ἐπίβαλεν.

493. Δυσπονέος.] Χαλεπὸν πόνον ἐπιφέροντος. Ἀμφικαλύψας.] Περισκεπάσας.

NOTÆ IN SCHOLIA.

492. *Ἐπίβαλεν, pro ἐπίλαβεν, scribendum.

Variæ Lectiones.

493. Δυσπονέος) γρ. *δυσεργίου, *Plutarchus*, sive *Dionys. Halicarn.* Vit. *Homer.* §. xxiii. Et hæc vox *Homero* dignior, & *Analogiæ* congruentior. *Eustathius* quidem δυσπονέος agnoscit; at timidiùs paulò, fol. 241. lin. 43. ὁ δυσπανὴς· ὠμοιώθη ἓ πρὸς τὸ ἄπορος· ὡς ἓ ἄπορος, ἀπορής· οὕτω καὶ δύσπονος, δυσπονής· Τοιοῦτον ἓ ἐστὶ πρὸ ὀλίγων, ἄλγος, ἀλγής. Quæ Vox occurrit supra, ad v. 408.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Ζ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Ζ.

Ἀθλιῶς ἐπισπᾶσα ὄναρ τῇ Ἀλκινόου θυγατρὶ Ναυσικάᾳ, κελεύῃ αὐτῇ τλῶ ἐθῆτι ἐπὶ τὰ πλυνάμενον ἀπαγήσαι. πλύνειν· πλησίον γὰρ αὐτῇ εἶναι τὰ γάμου· ἡ δὲ τὸ κελευσθὲν ποιεῖ. Ἐπειδὴ παίζει μὲν τοῖς ἀμφιπολοῦσι· ἀκόσασα δὲ αὐτῶν ὁ Ὀδυσσεὺς, ἐξαπίζεται· καὶ δεῆθείς Ναυσικάας, ἐσθῆτα καὶ τροφὴν παρ' αὐτῆς λαβὼν, ἕπεται αὐτῇ εἰς τὴν πόλιν.

Ἄλλη ὑποθεσις.

Ναυσικάα, ἡ Ἀλκινόου θυγάτηρ, ὑπὸ ἀνείρου τραπεῖσα, ἐπὶ τὰ πλύματα κέλευσιν, πλύνουσα τλῶ ἐθῆτι· μὴ δὲ τὰ πλύναι, παιδιὰ τις, ὑποῖα εἰκὸς, ἀλλ' ὀφείλεσθαι τοῖς γάμοις χίλιτα. Ὀδυσσεὺς δὲ, ἀγρόθεν ἐλθόμενος, διϊστάσθαι τὴν ἐθῆτος τυχὼν, μίσχει δὲ τῶν Ἀθήνας ἱερῷ. ὃ ὢν τῆς πόλεως ἦν, συναύλιος τῇ κόρῃ.

Ἐπιγραφαί.

Ὀδυσσέως ἄφιξις εἰς Φαίακας.

Ἄλλως.

Ζήτει δὲ Ναυσικάα κόμιν· ἐν Σχερίῃ Ὀδυσῆα. LIB. VI.

Ὣς ὁ μὲν ἔνθα καθεῦδε πολύτλας δῖος Ὀδυσσεύς,
Ὕπνῳ καὶ καμάτῳ ἀρημένος· αὐτὰρ Ἀθήνη
Βῆ ῥ' ἐς Φαιήκων ἀνδρῶν δήμόν τε πόλιν τε·
Οἵ πρὶν μὲν πολὺ ναῖον ἐν εὐρυχόρῳ Ὑπερείῃ,
Ἄσχυ Κυκλώπων, ἀνδρῶν ὑπερφιάλων,

SIC quidem illic dormiebat patiens divus Ulysses,
Somno & labore oppressus: interea Minerva
Ibat ad Phæacum virorum populúmque urbémque
Qui antea quidem habitabant in spaciosâ Hyperéâ,
Propè Cyclopas, viros superbientes;

ΣΧΟΛΙΑ.

2. Ἀρημένος.] Βεβλαμμένος· ἤτοι συλληπτικῶς, ὑπὸ μὲν τοῦ καμάτου βεβλαπτο· ὑπὸ δὲ τοῦ ὕπνου τὸν ὕπν. ἢ κατὰ ἀντίφρασιν, τὴν ἀχρυπνίαν, ὕπνον ἔφη· ἢ ἐπὶ τοῦ καμάτου τοιτέον· εἶτα ἀρημένος, ὑπὸ δὲ Ποσειδῶνος βλαβείς, καὶ παρεθείς, ἢ καταχόμενος.

4. Εὐρυχόρῳ.] Πλατυχώρῳ, μεγάλῃ. Ὑπερείῃ.] Οἱ μὲν τὴν ὑπερέχουσαν τῇ ὑψηλῇ, ὅ ἐστι τῇ ἀνδρείᾳ, καὶ ἀλλοῦ τοῦτο ὑποσημαίνων.

NOTÆ.

V. 1. Καθεῦδε) Ità hìc scribendum, non καθεύδει, testatur *Eustath.* fol. 1548. lin. 49. & fol. 162. lin. 39. & Edit. *Basil.* fol. 243. lin. 6. Vid. ad *Iliad.* α'. v. 611. *Var. Lect.*

NOTÆ IN SCHOLIA.

V. 2. Παρεθείς) Ità pro corrupto παραθείς, idque Duorum MSS. auctoritate.

VARIÆ LECTIONES.

V. 1. Καθεῦδε) χ. καθεύδει. Vid. ad *Textum.* 2. Ἀρημένος) γρ. ἀρημένος. *Eustath.* fol. 242. lin. 51.

Οἵ

Οἵ σφεας σινέσκοπλο, βίηφι ἢ Φέρτεροι ἦσαν.
Ἔνθεν ἀναςήσας ἄγε Ναυσίθοος θεοειδὴς,
Εἶσεν δ' ἐν Σχερίῃ ἐκὰς ἀνδρῶν ἀλφηςάων·
[* Ἀνθρώπων ἀπάνευθε, πολυκλύςῳ ἐνὶ πόντῳ.]
Ἀμφὶ δὲ τεῖχος ἔλασσε πόλῃ, καὶ ἐδείμαλο οἴκους,
Καὶ νηοὺς ποίησε θεῶν, καὶ ἐδάσατ' ἀρούρας.
Ἀλλ' ὁ μὲν ἤδη κηρὶ δαμεὶς Ἀϊδόσδε βεβήκει·
Ἀλκίνοος δὴ τότ' ἦρχε, θεῶν ἄπο μήδεα εἰδώς.
Τοῦ μὲν ἔβη πρὸς δῶμα θεὰ γλαυκῶπις Ἀθήνη,
Νόςον Ὀδυσσῆϊ μεγαλήτορι μηδιόωσα·
Βῆ δ' ἴμεν εἰς θάλαμον πολυδαίδαλον, ἔνθ' ἔνι κούρη
Κοιμᾶτ', ἀθανάτῃσι φυὴν καὶ εἶδος ὁμοίη,
Ναυσικάα, θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο·
Πὰρ δὲ δύ' ἀμφίπολοι, Χαρίτων ἄπο κάλλος ἔχουσαι,
Σταθμοῖιν ἑκάτερθε, θύραι δ' ἐπέκειντο φαειναί.
Ἠΰ δ' ἀνέμου ὡς πνοιὴ ἐπέρχεται δέμνια κούρης·
Στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καὶ μιν πρὸς μῦθον ἔειπεν,
Εἰδομένη κούρῃ ναυσικλειτοῖο Δύμαντος,
Ἥ οἱ ὁμηλικίη μὼ ἔην, κεχάρητο δὲ θυμῷ·
Τῇ μιν ἐεισαμένη προσέφη γλαυκῶπις Ἀθήνη,

Qui ipsos prædabantur; viribus enim potiores erant:
Hinc migrare-cogens *illos* deduxit Nausithous deo similis,
Collocavitque in Scheriâ procul ab hominibus ingeniosis,
[Procul, *inquam*, ab Hominibus, undoso in mari.]
Circum verò murum duxit civitati, ædificavit & domos,
Etiam templa fecit deorum & divisit agros.
Sed hic jam fato domitus, ad inferos descenderat:
Alcinous verò tunc imperabat, à diis *consilia docta*.
Hujus quidem perrexit ad domum dea cæsia Minerva,
Reditum Ulyssis magnanimi consultans:
Celeriter verò ibat ad thalamum fabre-factum, in quo puella
Dormiebat, immortalibus indole & specie similis,
Nausicaa, filia magnanimi Alcinoi.
Aderant duæ ancillæ, à Gratiis pulchritudinem nactæ,
A postibus utrinque; fores verò imminebant lucidæ.
Illa vero venti veluti flatus accessit ad cubilia puellæ:
Stetitque supra caput, & ipsam sermone alloquuta est,
Assimilata filiæ celebris-a-re-navali Dymantis,
Quæ ei æqualis quidem erat, & grata animo:
Huic seipsam assimilans alloquuta est cæsia Minerva.

ΣΧΟΛΙΑ.

6. Οἵ σφεας] Οἵ περὶ αὐτές. Σινέσκοπλο.] Ἐκάκιζον, ἠΐκιζον, ἔβλαπλον.
7. Ἀναςήσας.] Ἀνακομίσας, ἀφικόμενος στελλόμενος.
8. Ἔσσεν.] Νῦν, ἀντὶ τοῦ ἴδρυσεν. Σχερίῃ.] Ἡ τῶν Φαιάκων πόλις. Ἀλφηςάων.] Τῶν εὐρετικῶν καὶ ἐπινοητικῶν ἀνθρώπων.
9. Τεῖχος ἔλασσε.] Περιέτειχε, ἐφορίσθαλο· ἢ ὃ μισθοφορᾷ· λαὸν δὲ ἐλαυνομένην σπήρας· ἢ λαὸν δὲ ἐλαύνας, ὅ ἐςι πῆξας καὶ σκάψας. Ἐδείμαλο.] Κατεσκεύασεν.
10. Ἐδάσατο.] Διεμοιρήσαλο, ἢ ἐμέρισεν.
11. Καὶ] Θαυματικῶς μοίρᾳ. Ἀϊδόσδε.] Εἰς ᾅδου.
15. Πολυδαίδαλον.] Πολυποίκιλον. Ὡΐ ἔνι.] Ἐν ᾧ.
17. Θυγάτηρ Ἀλκινόοιο.] Ἡ Ναυσικάα.
19. Σταθμοῖιν.] Τῶν παραςάδων. Ἑκάτερθεν.] Ἑκατέρωθεν. Ἐπέκειντο.] Ἐπεκλείοντο ἀλλήλαις θύραι. Φαειναί.] Λαμπραί.
20. Δύμαντος] Στερεμνίου.
22. Κούρῃ.] Θυγατρὶ. Ναυσικλειτοῖο.] Ἐν τοῖς κοινοῖς ναυσικλεῖ ἐρωτικῶς εἰρῆσθαι.
23. Ὁμηλικίη.] Ὁμήλιξ. Κεχάρητο.] Περιττὸς ὁ τόνος, ἐφιλεῖτο.

NOTÆ.

8. Σχερίῃ] *Scheria*, quæ pòst *Phæacia*, nonnullis *Corcyra*: *Herodoro*, *Oasis*, ut *Phot.* Biblioth. fol. 111.
9. * Ἀνθρώπων ἀπάνευθε, πολυκλύςῳ ἐνὶ πόντῳ) Hunc Versum, diù hìc, ob rotunditatem Periodi, desideratum, ex *Plutarcho*, περὶ φυγῆς, fol. 603. restituo. Vid. infrà, ad v. 204.

NOTÆ IN SCHOLIA.

10. Ἐδάσατο) Διεμοιρήσαλο, ἢ ἐμέρισεν. Hoc ex MSS. dd. excepto, quòd ibi διενοήσαλο, per incuriam, pro διεμοιρήσαλο. Hervag. Edit. *Aldina* & *Parisiana*, Ἐδάσατο) Διεμέρισεν.

VARIÆ LECTIONES.

8. Ἀνδρῶν) γρ. ἄλλων.
9. Ἀνθρώπων) γρ. Κυκλώπων.
20. Ἐπέσσυτο) γρ. ἐπ' ἔσσυτο.
24. Τῇ μιν ἐεισαμένη) γρ. τῇ μὲ ἐεισδομένῃ. *H. Steph.* ἐεισδομένῃ, *Aldina* & *Lovaniana Recusi.*

Ναυσι-

Ναυσικάα, πή νύ σ' ὧδε μεθήμονα γείναλο μήτηρ;
Εἵματα μὲν τοι κεῖται ἀκηδέα, σιγαλόεντα·
Σοὶ δὲ γάμος χεδόν ἐστιν, ἵνα χρὴ καλὰ μὲν αὐτὴν
Ἕννυσθαι, τὰ δὲ τοῖσι παρέχειν, οἵ κέ σ' ἄγωσι.
Ἐκ γάρ τοι τέτων φάτις ἀνθρώπους ἀναβαίνει
Ἐσθλή· χαίρουσιν δὲ πατὴρ καὶ πότνια μήτηρ.
Ἀλλ' ἴομεν πλυνέουσαι ἅμ' ἠοῖ φαινομένηφι,
Καί τοι ἐγὼ συνέριθος ἅμ' ἕψομαι, ὄφρα τάχιστα
Ἐντύνεαι· ἐπεὶ οὔτοι ἔτι δηρὸν παρθένος ἔσσεαι·
Ἤδη γάρ σε μνῶνται ἀριστῆες κατὰ δῆμον
Πάντων Φαιήκων, ὅθι τοὶ γένος ἐστὶ καὶ αὐτῇ.
Ἀλλ' ἄγε ἐπόρσυνον πατέρα κλυτὸν ἠῶθι πρὸ
Ἡμιόνους καὶ ἅμαξαν ἐϋπλίσαι, ἥ κεν ἄγῃσι
Ζώστρά τε, καὶ πέπλους, καὶ ῥήγεα σιγαλόεντα.
Καὶ δέ σοι ὧδ' αὐτῇ πολὺ κάλλιον, ἠὲ πόδεσσιν
Ἕρχεσθαι· πολλὸν γὰρ ἄπο πλυνοί εἰσι πόληος.
Ἡ μὲν ἄρ' ὡς εἰποῦσ' ἀπέβη γλαυκῶπις Ἀθήνη
Οὔλυμπόνδ', ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεὶ
Ἔμμεναι· οὔτ' ἀνέμοισι τινάσσεται, οὔτε ποτ' ὄμβρῳ
Δεύεται, οὔτε χιὼν ἐπιπίλναται· ἀλλὰ μάλ' αἴθρη
Πέπταται ἀνέφελος, λευκὴ δ' ἐπιδέδρομεν αἴγλη·

" Nauſicaa, ecquid tete ſic negligentem peperit mater?
" Veſtes etenim tibi jacent neglectæ, pulchræ;
" Tibi verò nuptiæ inſtant, quandò oportet pulchras teipſam
" Induere, aliiſque illis præbere, qui te ducent.
" Etenim ex his fama tibi apud homines aſcendit
" Bona; gaudentque pater & veneranda mater.
" Quin eamus loturæ ſimul cum aurorâ apparente,
" Et ego adjutrix ſimul ſequar; ut celerrimè
" Expediaris; quoniam non ampliùs diù virgo eris.
" Dudum enim te ambiunt optimi in populo
" Omnium Phæacum; ubi tibi genus eſt etiam ipſi.
" Verùm age incita patrem inclytum matutino tempore,
" Ut mulos & currum apparet, qui vehere queat
" Tunicaſque, & peplos, & pallia pulchra.
" Quippè tibi ſic ipſi multò honeſtius eſt, quàm pedibus
" Ire; multum enim abſunt lavacra ab urbe.
Ipſa quidem ſic loquuta abiit cæſia Minerva
Ad Olympum, ubi inquiunt deorum ſedem firmam ſemper
Eſſe, quæ neque ventis concutitur, neque unquam imbre
Rigatur, neque nix admovetur; ſed potius ſe extirat
Aperitur innubis, lucidúſque circumfulget ſplendor:

ΣΧΟΛΙΑ.

25. Μεθήμονα.] Ἀμελῆ, ῥᾳθυμον.

26. Ἀκηδέα.] Μηδὲ μιᾶς φροντίδος ἠξιωμένα, ἢ ἀτημέλητα, ἀφρόντιστα. Σιγαλόεντα.] Ἁπαλά, ποικίλα· τὰ μὲν ἡδὺ σκληρὰ ἀντιπίπτει καὶ ἀντυπεῖ· τὰ δὲ ἁπαλά, ὥσπερ σιγᾷ ὁ ἠσυχάζει.

28. Ἕννυσθαι.] Ἐνδύεσθαι, ἀμφιέννυσθαι. Τὰ δὲ τοῖσι παρέχειν.] Ὡς ἔθος τοιῦτο ὄντος.

29. Φάτις ἀνθρώπους ἀναβαίνει.] Διαβόητος γίνεται.

32. Σωιέρυθος.] Σωιεργὸς, παρὰ τὸ ἀγαθὸν ἔρειν.

33. Ἐντύνεαι.] Κοσμήσεως, πλύσεως, εὐτρεπίσεως. Ἔσσεαι.] Ἔσῃ, γένῃ.

35. Ὅθι τοὶ γένος.] Οὐ τοπικὸν ἐστὶ νῦν, ἀλλὰ φίλον

NOTÆ.

45. Ἀνέφελος.) Vid. ad *Iliad.* κ'. v. 258. Et *Euſtath.* in hunc locum, fol. 245. lin. 39.

NOTÆ IN SCHOLIA.

29. Διαβόητος γένηται) Ità pro διαβόητον γίνονται, ut *Textui* reſpondeat, φάτις σοὶ καὶ ἀνθρώπους.

35. Ὅθι τοὶ γένος) Ubi *Br. Schol.* ὅτοι legunt, MSS. ὅπ τοὶ, melius.

VARIÆ LECTIONES.

35. Ὅθι τοὶ) γρ. ὅτοι, *Br. Schol.* an pro, ᾗ τοι. MSS. *Aloyſii* & GC. ὅτι τοί.

44. Οὔλυμπόνδ', ὅθι φασὶ) γρ ὄλυμπόνδ', ὅν φασι, λέγειν, ὃν οἷς καὶ αὐτὴ ὀνομάζῃ τοῖς ἀείστοις, τετέσιν, ὅτι εἰ εὐχλεᾶς γεγάφῃ Ε, ἢ τοι γι.

36. Ἐπόρσυνον.] Προέμηνον.

37. Ἐϋπλίσαι.] Παρασκεύασαι. Ἥ κεν.] Ἥ τις ἂν. Ἄγῃσιν.] Ἄγει, φέροι, βασταζοι.

38. Ζώστρα.] Τὰ περὶ ζώνην ἐπιτήδεια εὐθύμησιν. λέγει δὲ χιτῶνας, ἢ ζώνας.

40. Πλυνοί.] Οἱ τόποι, ἐν οἷς πλύνουσιν.

42. Ἕδος.] Ἑδρασμα, κάθισμα.

43. Τινάσσεται.] Κινεῖται.

44. Ἐπιπίλναται.] Προσπλάζει, ἐμπίπτει. Αἴθρη.] Εὐδία.

45. Πέπταται.] Ἀναπέπτωκε, ἀνέῳκε. Ἀνέφελος.]

NOTÆ IN SCHOLIA.

45. Πέπταται) Ἀναπέπτωκε, cum *Aloyſii* MSto lego, pro ἀναπέπτωκε) *Poetico*, ut & κατηρεισμένη, pro corrupto κατηρεισμένα. Pro ἔπεσιν, MS. ἔστιν. Hoc *Scholion* ἐκ τῶ Παλαιῶν laudat *Euſtath.* fol. 246. lin. 7.

VARIÆ LECTIONES.

Br. Schol. ad *Iliad.* α'. v. 420.

45. Ἀνέφελος) γρ. ἀνέφελον.

Τῷ ἔνι τέρπονθ' μάκαρες θεοὶ ἤματα πάντα·
Ἐνθ' ἀπέβη Γλαυκῶπις, ἐπεὶ ἄφαρ ἐφράσθη κούρη.
Αὐτίκα δ' ἠὼς ἦλθεν ἐύθρονος, ἣ μιν ἔγειρε
Ναυσικάαν ἐύπεπλον· ἄφαρ δ' ἀπεθαύμασε ὄνειρον.
Βῆ δ' ἴεναι διὰ δώματ', ἵν' ἀγγείλειε τοκεῦσι,
Πατρὶ φίλῳ ἠ μητρί, κιχήσατο δ' ἔνδον ἐόντας.
Ἡ μὲν ἐπ' ἐσχάρῃ ἧστο, σὺν ἀμφιπόλοισι γυναιξίν,
Ἠλάκατα τροφόεσσ' ἁλιπόρφυρα· τὴν δ' ὑφάζε
Ἐρχομένῳ ξύμβλητο μετ' κλειτὸς βασιλῆας
Ἐς βουλήν, ἵνα μιν κάλεον Φαίηκες ἀγαυοί.
Ἡ δ' ἄρα μάλ' ἄγχι στᾶσα φίλον πατέρα προσέειπε,
Πάππα φίλ', οὐκ ἂν δή μοι ἐφοπλίσειας ἀπήνην
Ὑψηλήν, εὔκυκλον, ἵνα κλυτὰ εἵματ' ἄγωμαι
Ἐς ποταμὸν πλυνέουσα, τά μοι ῥερυπωμένα κεῖται;
Καὶ δέ σοι αὐτῷ ἔοικε μετὰ πρώτοισιν ἐόντι
Βουλὰς βουλεύειν καθαρὰ χροῒ εἵματ' ἔχοντα·
Πέντε δέ τοι φίλοι υἱὲς ἐνὶ μεγάροις γεγάασιν,
Οἱ δύ' ὀπηδοῦντες, τρεῖς δ' ἡβόωσι θαλέθοντες·
Οἱ δ' αἰεὶ ἐθέλουσι νεόπλυτα εἵματ' ἔχοντες,
Ἐς χορὸν ἔρχεσθαι· τὰ δ' ἐμῇ φρενὶ πάντα μέμηλεν.
Ὣς ἔφατ'· αἴδετο γὰρ θαλερὸν γάμον ἐξονομῆναι
Παρὲξ φίλῳ· ὁ δ' ἄρα πάντα νόῃ, καὶ ἀμείβετο μύθῳ,

In quo delectantur beati dii diebus omnibus.
Huc abiit Pallas, postquam rem injunxerat puellæ.
Continuò aurora aderat pulchra, quæ ipsam excitabat
Nausicaam pulchris-peplis; cæterùm admirata est somnium.
Festinabat ire per domos, ut annunciaret parentibus,
Patri charo & matri; nacta autem est intus existentes.
Illa quidem ad focum sedebat cum ancillis fœminis
Pensum versans marinâ purpurâ-tinctum: in hunc autem foràs
Egredientem incidit ad inclytos reges
Ad concilium, quò ipsum invitârant Phaaces generosi.
Hæc ergò valdè propè astans charum patrem alloquuta est,
" Pater chare, annon utique mihi apparaveris currum
" Excelsum, rotundum; ut pulchras vestes ducam
" Ad flumen lotura, quæ mihi fordidatæ jacent?
" Quin etenim tibi ipsi convenit inter primores versantem
" Consilium contulere, pulchras corpori vestes habentem.
" Quinque etiam tibi chari filii in regiâ sunt;
" Quorum duo in matrimonio, tres autem cœlibes florentes:
" Hi semper volunt, recens-lotis vestibus induti,
" Ad saltationem ire; hæc meæ menti omnia curæ sunt.
Sic ait; verebatur enim floridas nuptias nominare
Patri charo; ille tamen omnia intelligebat, & respondebat sermone,

Σ Χ Ο Λ Ι Α.

Νιφελῶν χωρεῖς. ἡ μὲν κεφὴ ἡ δὲ ὀλύμπια ἐπεφράσθη καλεῖται. ὁ δὲ ὑφαίνει ὑφ' Ὁμήρου, ἀπὸ τῶν νιφελῶν ἕως δὲ καπεστρισμένη τόπος, σωματώμασι αὐτῷ τῷ καπεστρισμένῳ καλεῖται. Ἐπιδίδρομεν.] Ἔπεισιν, ἐπιτρέχει. Αἰγλα.] Λαμπηδών.

46. Τῷ ἔνι.] Ἐν τούτῳ.

47. Διακεφράσθη.] Διεσήμανεν.

48. Εὐθρόνου.] Θρόνον νῦν τὸ ἁρμάτειον λέγει τὸ ἵππους ἔχας· ἡ γὰρ ἵππος ἐφράσα ἡ θεὸς αὐτὴ, ἡ νῦν εἰρημένη.

50. Ἀγγείλειε.] Ἐπαγγείλῃ, εἴπῃ.

52. Ἐπ' ἐσχάρᾳ.] Παρὰ τῇ ἐσχάρᾳ· ἐσχάρα ὁ τόπος, ἐφ' ᾧ τὸ πῦρ καίεται.

53. Ἠλάκατα.] Νῦν, τὰ ἔρια. Στρωφῶσα.] Στρέφουσα, ἐργαζομένη. Ἁλιπόρφυρα.] Θαλασσοβαφῆ. Θύραζε.] Ἔξω.

54. Εὐμβλητο.] Συνίστυχεν. Κλειτούς.] Ἐνδόξους.

55. Βουλήν.] Νῦν, τὸν τόπον, ὅπου βουλεύουσι.

57. Πάππα.] Προσφώνησις φιλοφρονικὴ νεωτέρᾳ πρὸς πρεσβύτερον. Ἐφοπλίσειας.] Παρασκευάσειας. Ἀπήνην.] Ἅμαξαν.

63. Ὀπυίοντες.] Γαμηκότες. Ἡβόωσι.] Ἀκμάζουσι. Θαλέθοντες.] Θάλλοντες, ἀκμάζοντες.

65. Χορόν.] Τὸ συνίδριον, *τὸ ἀθροισμα, διδασκαλεῖα.

66. Αἴδετο.] Ἠσχύνθη, ἐνετράπη. Θαλερόν.] Θάλλειν καὶ ἀκμάζειν ποιοῦντα. Ἐξονομῆναι.] Ὀνομάσαι, εἰπεῖν.

67. Ἀμείβετο.] Ἀντεπεκρίνετο, ἐξ ἀμοιβῆς προσεφθέγγετο.

NOTÆ IN SCHOLIA.

65. Χορόν) MSS. legunt *τὸ ἀθροισμα, non ut *Impressi*, τὰ ἀθροίσματα.

VARIÆ LECTIONES.

50. Διὰ) γρ. καθ', *H. Steph.*

57. Ἐφοπλίσειας) γρ. ἐφοπλίσειεν, *Eustath.* fol. 246. lin. 50.

60. Ἐόντι) γρ. ἐόντα, *H. Steph.* & *Eustath.* fol. 247. lin. 33.

67. Πάντα νόει) γρ. πάντ' ἐνόει.

Οὔτε

303. Ἥρωος· ἀλλ' ὁπότ' ἂν σε) γρ. ἥρως· ἀλλ' ὁπότ' ἂν σε, Vid. Not. in *Textum*. *Ibid.* Κεκύθωσι) γρ. κεύθωσι, *Florent.* Edit. *Aldin. Lovanian.* & *H. Steph.*
308. Αὐτῇ) γρ. αὐγῇ. *Br. Schol.*

Ἡ ῥ μάλ' ἐπόχθιζεν, ὅπως ἅμ' ἑποίατο πεζοὶ,
Ἀμφίπολοί τ', Ὀδυσῆος ἐυκνήμιδος νόῳ δ' ἐπέβαλλεν ἱμάσθλην.
Δύσετό τ' ἠλίῳ, καὶ τοὶ κλυτὸν ἄλσος ἵκοντο
Ἰρὸν Ἀθηναίης, ἵν' ἄρ' ἕζετο δῖος Ὀδυσσεύς·
Αὐτίκ' ἔπειτ' ἠρᾶτο Διὸς κούρῃ μεγάλοιο,
Κλῦθί μοι, Αἰγιόχοιο Διὸς τέκος ἀτρυτώνη,
Νῦν δή πέρ μυ ἄκουσον, ἐπεὶ πάρος οὔποτ' ἄκουσας
Ῥαιομένου, ὅτε μ' ἔρραισε κλυτὸς Ἐννοσίγαιος.
Δός μ' ἐς Φαίηκας φίλον ἐλθεῖν, ἠδ' ἐλεεινόν.
Ὣς ἔφατ' εὐχόμενος, τῷ δ' ἔκλυε Παλλὰς Ἀθήνη·
Αὐτῷ δ' οὔπω φαίνετ' ἐναντίον· αἴδετο γάρ ῥα
Πατροκασιγνήτην· ὁ δ' ὀπιζαφελῶς μενέαινεν
Ἀντιθέῳ Ὀδυσῆι, πάρος ἣν γαῖαν ἱκέσθαι.

Illæ quoque bene gubernabat; quo simul sequerentur pedites,
Ancillæque, Ulysseique; arte vero impegit flagellum.
Vergebat autem sol, & illi inclytum ad nemus pervenerunt,
Sacrum Palladi, ubi confedit divus Ulysses:
Statim deinde supplicavit Jovis filiæ magnanimi,
" Audi me, Ægidem ferentis Jovis filia indomita,
" Nunc saltem me exaudi, quoniam antea nunquam exaudivisti
" Jactatum, quando me jactabat inclytus Neptunus:
" Da, me ad Phæacas gratum venire, atque miserabilem.
Sic ait supplicans, hunc autem audivit Pallas Minerva:
Ipsi tamen nondum apparuerat palam; verebatur enim
Patruum *Neptunum*: is etenim vehementer irascebatur
Divino Ulyssi, antequam suam ad terram veniret.

ΣΧΟΛΙΑ.

νόητον. [* πλέοντας γρ. τὸ βάθλῳ ἀλλαβαίνειν· καὶ πλέοντα. τὸ ἀλλόγημα τῶν ποδῶν.]

319. Μάλα.] Νῦν, ἐπιτηδείως. Ἐποίατο.] Ἀνθ' οὗ ἐποίοντο.

320. Νόῳ δ' ἐπέβαλλεν ἱμάσθλῃ.] Τεχνικῶς ἤλαυνεν.

321. Δύσετό τ' ἠλίῳ.] Νῦν, ὡς δυσμὰς ἀπέβαινεν· ἡμέρας γὰρ ἔτι ὕσης εἰσέρχεται Ὀδυσσεύς, παρὸ καὶ ἀχλὺν αὐτῷ περιχέει.

326 Ῥαιομένου.] Φθειρομένου. Ἔρραισε.] Ἔφθειρεν. Ἐννοσίγαιος.] Ὁ Ποσειδῶν, ὁ τὴν γῆν κινῶν· ἔνοσις γὰρ ἡ κίνησις.

327. Ἐλεεινόν.] Ἐλέους τυχεῖν.

329. Ἐναντίον.] Ἀπεναντίας, ἐν ᾧ φανερῷ.

330. Πατροκασιγνήτην.] Τὸν τοῦ πατρὸς ἀδελφὸν, τὸν θεῖον.

NOTÆ.

321. Δύσετο) Οἷον, παρὰ τὸ δύσεσθαι· ἀναδιπλασιάσαντες τὸ μέλλοντος εἰς σεσῶται, ut *Eustathius*. Ità sanè, ab οἴσω, *Futuro*, fit οἶσε *Præsens*, in *Imperativo*, *Callimacho*, Hymn. *Cereris*, v. 137. etiam *Homero*, *Odyss.* χ'. v. 106. & 481. & *Iliad.* τ'. v. 173. οἰσέτω, ut & *Odyss.* φ'. v. 255. Sic ἐβήσετο, *Homerus*, de quo *Eustathius*, Τέλειον σχῆσωμεν παραζεύκτου τὸ βήσεται ῥήμασιν, ὃ ἐκ μέλλοντος ἀναδιπλασιάσαντες εἰς σεσῶται. At sciendum & has Voces *Variari* & δύσεται, βήσεται, &c. legi.

329. Αὐτῷ δ' οὔπω φαίνετ' ἐναντίον) *Minerva* hìc dicitur, ob patrui *Neptuni* reverentiam, nondum se apertè *Ulyssi* manifestâsse, antequam in suam Patriam revertisset: Dicendum itaque, quùm paulò pòst, nempè η'. v 15. eadem *Minerva* dicatur, Nebulam eidem *Ulyssi* circumfundere, & mox v. 19. ipsa eidem apparuerit sub Virginis teneliæ specie, nullibi tamen *Ulyssi* se notam fecit, nequid patrui sui inimico favere videretur, aut animos illi, invito *Neptuno*, ante tempus præstitutum dare. *Eustath.* fol. 1565. lin. 7. Διατὶ δὲ τῷ Ποσειδῶνι ζαφελῶς μενεαίνοντι καθ' Ὀδυσσέως, ἡ Ἀθηνᾶ σὸν αὐτίῳ; Εὐμαθὲς ἐξ Ὁμήρου κερδήσας λύσει σαφέστερον τὸ περὶ αὐτὸν Ἱππολύτου· ἔνθα ἡ Ἄρτεμις ἔφη εἶναι θεοῖς φησι, μὴ ἀνηκαθίστασθαι ἀλλήλοις, ὅτι τινὰ βλάπτουσι, καὶ ὁ φίλτατος ἀνθρώπων εἶη· καθὰ καὶ αὐτὴ σὸν αὐτίῳ ἔσχε τῇ Ἀφροδίτῃ, ἐφ' οἷς ἐβλαπτε τὸν φίλον Ἱππόλυτον. Vid. *Euripid. Hippolyt.* v. 1328.

VARIÆ LECTIONES.

321. Δύσετο) γρ. Δύσατο. Vid. Not. in *Textum*.

329. Ἐναντίον) γρ. ἐναντίη, *Eustath.* fol. 1565. lin. 4. *Ibid.* Αἴδετο) γρ. ἄζετο, Not. MS. ad Edit. *Florent.* Margin.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Η'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Η.

ΝΑυσικάα * εἰς τὴν πόλιν ἀφικνεῖται, καὶ μετ' ὀλίγον Ὀδυσεὺς ἱκετεύει Ἀρήτην τὴν Ϛ' Ἀλκινόου Ϛ βασιλέως γυναῖκα· καὶ μὴ τὸ δεῖπνον πυθομένης, ὁπόθεν τὴν ἐσθῆτα ἔχει, ἐγνώρισε δὲ αὐτὴν, τὰ συμβάντα αὐτῷ καθ' ὁ πλοῦν, ἀπὸ τῆς Ὠγυγίας μέχρι τῆς Φαιάκων γῆς διηγεῖται.

* Hoc Argumentum & olim obtinuit, verùm hic, pro τὴν Ἀρήτην Ἀλκινόου, lego, Ἀρήτην, τὴν Ϛ' Ἀλκινόου, quod & Editio *Florentina*, *Aldina*, & *Lovaniana* facit.

Ἄλλη ὑπόθεσις.

Ἀθηνᾶ * τὴν πόλιν παραγνωμόνα Ὀδυσσεῖ ἅπαντα καὶ ἐξῆς ἀνεδείκνυσι τὴν Ἀλκίνου οἶκον· εἰς ὃν εἰσελθὼν Ὀδυσσεὺς φοσπίπτει τοῖς τῆς Ἀρήτης γόνασι, καὶ δεῖπνα αὐτῆς, πέμψαι αὐτὸν εἰς τὴν πατρίδα. Ἀναιρήσας δὲ αὐτὸν ὁ Ἀλκίνοος παρακαθίζει αὐτῷ, καὶ δεῖπνον παρέχει. Ἡ δὲ Ἀρήτη ἰδοῦσα τὴν ἐσθῆτα, συνέπεσεν, πόθεν ἔχει; Ὁ δὲ διηγεῖται αὐτοῖς τὰ ἀπὸ Καλυψοῦς πλοῦν, καὶ τὸ γενόμενον Ναυάγιον, καὶ τὴν φοὸς αὐτὸν ἄφιξιν, καὶ ὅσα διηγεῖς Ναυσικάᾳ, ἔλαβε τὴν ἐσθῆτα.

* Hoc Argumentum, ex MS. *Gonvillo-Caiensi* descripsi; nisi quòd ἀξίως ibi, pro ἐξῆς, & vocem πλοῦν, quam post Καλυψοῦς excidisse viderim, restituerim.

Ἐπιγραφή.

Ὀδυσσέως εἴσοδος φοὸς Ἀλκίνουν.

Ἄλλως.

Ἦτοι μὲν ἐν φεγάροισι Ὀδυσσῆι Σχερίης βασιλῆες. L. I B. VII.

Ὣς ὃ μὲν ἔνθ' ἠρᾶτο πολύτλας δῖος Ὀδυσσεύς,
Κούρῃ δ' ἄρα φέρεν μῦθον ἡμιόνοι ἶν.
Ἤιε δ' ὅτε δὴ ῥα πατρὸς ἀγακλυτὰ δώματ' ἵκανεν,
Στῆσεν ἄρ' ἐν φεθύροισι· κασίγνητοι δέ μιν ἀμφὶς
ϛ Ἴσαν', ἀθανάτοις ἐναλίγκιοι, οἵ ῥ' ἀπ' ἀπήνης
Ἡμιόνους ἔλυόν τ', ἐσθῆτά τε ἔσφερον εἵσω.

SIC quidem ibi supplicabat prudens divus Ulysses;
Puellam verò ad urbem ferebat robur mulorum.
Illa itaque quando jam ad sui patris inclytas ædes pervenit,
Constitit in vestibulo: fratres verò ipsam undique
Circumstabant, immortalibus similes; qui sane à curru
Mulos solvebant, vestemque portârunt intrò.

ΣΧΟΛΙΑ.

V. 5. Ἀπλίης.] Ἁπαλῆς.

NOTÆ.

V. 6. Ἡμιόνους ἔλυόν τ', ἐσθῆτά τε εἴσφερον) Voculam τὰ, quæ post ἔλυον olim exciderat, restituo; quod Sensus, & *Versus* eam ferè requirant.

NOTÆ IN SCHOLIA.

V. 5. Ἀπλίης) Ἁπαλῆς. Hæc Notula, nec in MSS. nec in *Aldinâ*, *Hervagianâ*, *Parisianâ*, *Morrhii*, &c. Sola *Lugdunensis* & *Amstelodamensis* agnoscunt; verùm, cùm *Hesychii* sit gemmula, per me maneat.

VARIÆ LECTIONES.

V. 6. Ἔλυόν τ') γρ. ἔλυον, Vid. in *Textum*.

Αὐτὴ

Αὐτὴ δ' ἐς θάλαμον εἶν ἴεν· δαῖε δέ οἱ πῦρ
Γρηῢς Ἀπειραίη θαλαμηπόλος Εὐρυμέδουσα,
Τὴν ποθ' Ἀπείρηθεν νέες ἤγαγον ἀμφιέλισσαι·
Ἀλκινόῳ δ' αὐτὴν γέρας ἔξελον, οὕνεκα πᾶσι
Φαίηκεσσιν ἄνασσε, θεὸν δ' ὡς δῆμος ἄκουεν·
Ἣ ῥ' ἔφερε Ναυσικάαν λευκώλενον ἐν μεγάροισιν.
Ἣ οἱ πῦρ ἀνέκαιε, καὶ εἴσω δόρπον ἐκόσμει.
Καὶ τότ' Ὀδυσσεὺς ὦρτο πόλινδ' ἴμεν· ἀμφὶ δ' Ἀθήνη
Πολλὴν ἠέρα χεῦε, φίλα φρονέουσ' Ὀδυσῆϊ,
Μήπις Φαίηκων μεγαθύμων ἀντιβολήσας
Κερτομέοι τ' ἐπέεσσι, καὶ ἐξερέοιθ', ὅτις εἴη.
Ἀλλ' ὅτε δὴ ἄρ' ἔμελλε πόλιν δύσεσθαι ἐρατήν,
Ἔνθα οἱ ἀντεβόλησε θεὰ γλαυκῶπις Ἀθήνη,
Παρθενικῇ εἰκυῖα νεήνιδι, κάλπιν ἐχούσῃ·
Στῆ δὲ θοὴ πρόσθ' αὐτοῦ· ὁ δ' ἀνείρετο δῖος Ὀδυσσεύς,
Ὦ τέκος, οὐκ ἄν μοι δόμον ἀνέρος ἠγήσαιο
Ἀλκινόου, ὃς τοῖσδε μετ' ἀνθρώποισιν ἀνάσσει;
Καὶ γὰρ ἐγὼ ξεῖνος ταλαπείριος ἐνθάδ' ἱκάνω,
Τηλόθεν ἐξ ἀπίης γαίης· τῷ ὔπνα οἶδα
Ἀνθρώπων, οἳ τλώδε πόλιν καὶ γαῖαν ἔχουσι.
Τόνδ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη,
Τοιγὰρ ἐγώ τοι, ξεῖνε πάτερ, δόμον, ὃν με κελεύεις,
Δείξω· ἐπεί μοι πατρὸς ἀμύμονος ἐγγύθι ναίει.
Ἀλλ' ἴθι σιγῇ τοῖον· ἐγὼ δ' ὁδὸν ἡγεμονεύσω.
Μηδέ τιν' ἀνθρώπων προσλοόσεο, μηδ' ἐρέεινε·

Ipsa verò ad thalamum suum ibat; accendebat autem illi ignem
Anus Epirotica cubicularia Eurymedusa,
Quam olim ab Epiro naves duxerunt biremes:
Alcinoo autem eam in donum elegerunt, eò quòd omnibus
Phæacensibus imperabat, & veluti deum populus audiebat:
Quæ enutrivit Nausicaam pulchris ulnis in regiâ.
Hæc ei ignem accendebat, & intùs cœnam adornabat.
Et tunc tandem Ulysses surrexit ad urbem ire; at Pallas
Multam caliginem circumfudit, benevolens Ulyssi,
Nequis Phæacum insolentium obviam factus,
Convitiaretur verbis, & interrogaret, quisnam esset.
Sed cùm jam civitatem ingressurus esset amabilem,
Tum ei obviàm facta est dea cæsia Minerva,
Virgini similis juvenculæ, urnam gestanti:
Stabat verò ante eum, interrogabatque divus Ulysses,
" O filia, an non mihi domum viri ostendere poteris
" Alcinoi, qui inter hosce homines imperat?
" Etenim ego hospes multa passus huc venio,
" Procul ex alienâ terrâ; quare nullum novi
" Hominum, qui hanc urbem & terram inhabitant.
Hunc contra alloquuta est dea cæsia Minerva,
" Profectò ego tibi, hospes pater, domum, quam me jubes,
" Monstrabo: quoniam mihi patrem inculpatum juxta habitat.
" Sed eas tacitè, ut facis; ego enim viam monstrabo;
" Neque quenquam hominum alloquere, neque interroga:

ΣΧΟΛΙΑ.

7. Ἑόν.] Τὸν ἑαυτῆς.
8. Ἀπειραίη.] Ἀποθὲν παρῶσα, ἠπειρωτική· ἔστι δὲ ἀντικρὺ τῆς Κερκύρας ἡ Ἤπειρος. Θαλαμηπόλος.] Ἤτοι ἡ ὡρισμένη τὸν θάλαμον ἀναστρεφομένην· ἢ ἡ δι' οἴκου ποιουμένη.
9. Ἀπείρηθεν.] Πόρρωθεν λίαν τῆς ἠπείρου.
10. Ἔξελον.] Ἐξαίρετον ἔδωκαν.
13. Ἐκόσμει.] Παρεσκεύαζεν.
15. Ἠέρα.] Νῦν, τὴν ὁμίχλην.
17. Κερτομέοι.] Χλευάζοι.
18. Δύσεσθαι.] Εἰσελθεῖν. Ἐρανήν.] Ἐπέρασεν, καλήν.
20. Παρθενικῇ νεήνιδι.] Παρθένῳ νεωτέρᾳ. Εἰκυῖα.] Ὁμοία. Κάλπιν.] Ὑδρίαν.
21. Ἀνείρετο.] Ἐπηρώτησεν.
24. Ταλαπείριος.] Ἀείσαρκος μέν, ἀντὶ δὲ πολλαπλοῦς· πινὲς δέ, ἀντὶ δὲ ξένος, ἐκ πόρρωθεν πεπορευκώς, ἢ μακρόθεν ἀφιγμένος.
25. Τηλόθεν) Πόρρωθεν. Ἐξ ἀπίης γαίης.] Ἐκ τῆς μακρὰν ἀπεχούσης γῆς.
31. Προσλοόσεο.] Ἐνόησε· ἢ προσαγορεύσῃς· ἢ ἀντιβλέψῃς.

NOTÆ IN SCHOLIA.

7. Ἑόν) Τὸν ἑαυτῆς. Ex MS. GC.
8. Ἀπειραίη) Ἠπειρωτική. Ex *Hesychio*.
25. Τηλόθεν) Vid. ad *Iliad.* α'. v. 270. Confer *Eustath.* fol. 102. lin. 40. & *Hesych.*

VARIÆ LECTIONES.

26. Πόλιν καὶ γαῖαν ἔχουσι) γρ. πόλιν ἣ ἔρχα νέμουσι, *H. Steph.*

Οὐ

Οὐ γὰρ ξείνους οἵδε μάλ' ἀνθρώπους ἀνέχονται,
Οὐδ' ἀγαπάζουσιν φιλέοντ', ὅς κ' ἄλλοθεν ἔλθοι·
Νηυσὶ θοῇσιν τοίγε πεποιθότες ὠκείῃσιν,
Λαῖτμα μέγ' ἐνπερόωσιν, ἐπεὶ σφισι δῶκε Ἐνοσίχθων·
Τῶν νέες ὠκεῖαι, ὡσεὶ πτερὸν, ἠὲ νόημα.
Ὣς ἄρα φωνήσας ἡγήσατο Παλλὰς Ἀθήνη
Καρπαλίμως· ὁ δ' ἕπετο μετ' ἴχνια βαῖνε θεοῖο·
Τόνδ' ἄρα Φαίηκες νausικλυτοὶ οὐκ ἐόησαν
Ἐρχόμενον κατ' ἄστυ διὰ σφέας· ἡ γὰρ Ἀθήνη
Εἴα ἐϋπλόκαμος, δεινὴ θεὸς, ἤ ῥά οἱ ἀχλὺν
Θεσπεσίην κατέχυτο, φίλα φρονέουσ' ἐνὶ θυμῷ.
Θαύμαζεν δ' Ὀδυσεὺς λιμένας θ' νῆας εἰσας,
Αὐτῶν θ' ἡρώων ἀγυιὰς, καὶ τείχεα μακρὰ,
Ὑψηλὰ, σκολόπεσσιν ἐρηρότα, θαῦμα ἰδέσθαι·
Ἀλλ' ὅτε δὴ βασιλῆος ἀγακλυτὰ δώματ' ἵκανεν,
Τοῖσίδε μύθων ἦρχε θεὰ γλαυκῶπις Ἀθήνη,
Οὗτος δή τοι, ξεῖνε πάτερ, δόμος, ὅν με κελεύεις
Πεφραδέμεν· δήεις δ' διοτρεφέας βασιλῆας
Δαίτῃσι δαινυμένους· σὺ δ' ἔσω κίε, μηδέ τι θυμῷ
Ταρβεῦ· θαρσαλέος γὰρ ἀνὴρ ὃς πᾶσιν ἀμείνων
Ἐργοισιν τελέθῃ, εἰ καὶ πόθεν ἄλλοθεν ἔλθοι.

" Nôrat enim hospites hi clementèr homines susciptunt,
" Nec curantes ampiectuntur, quicunque aliunde venerit:
" Navibus celeribus illi freti velocibus,
" Undas ingentes tranant; nam id ipsis dedit Neptunus.
" Quorum naves veloces, veluti penna, atque cogitatio.
Sic sanè loquuta præibat Pallas Minerva
Celeriter: ipse deinde post vestigia ibat deæ.
Hunc certè Phæaces inclyti-navibus hsud advertebant
Vadentem per urbem inter ipsos: non enim Pallas
Sinebat pulchricoma, vehemens dea; quæ ei caliginem
Divinitùs immissam affudit, benè-volens in animo.
Mirabatur verò Ulysses portus & naves æquatas,
Ipsorumque Principum curias, & mœnia longa,
Sublimia, vallis munita, mirabile visu.
Sed quando jam ad Regis inclytum Palatium pervenerunt,
Hisce verbis sermones cœpit dea cæsia Minerva,
" Hæc sanè tibi, hospes pater, domus, quam me jubes
" Indicare; invenies itaque à Jove-nutritos reges
" Epulum celebrantes: tu verò intrò eas, neque quid animo
" Timeas: audax enim vir in omnibus potior
" Rebus existit, etiam si quando aliunde veniat.

ΣΧΟΛΙΑ.

32. Οὐ γὰρ ξείνους οἵ δὲ μάλ' ἀνθρώπους ἀνέχονται.] Οὐ ξενίζουσι τοὺς ἀνθρώπους· πῶς ἂν οἱ τοῖς ἐξῆς φιλοξενώτατοι λέγοιντο; ἢ τὸ μὲ ναυλικὸν ὄχλον τῇ ὄντι εἶναι ἀπιθῆ, τοὺς βαπλεῖς φιλοξένους· ἢ ἵνα φυλάξῃ, πῶς πυθέσθαι, ἢ σοὺς ἕτερον καθέχθηναι. * Ἀνέχονται.] Ἀναδέχονται. Ε Ἀφαιρέσεως.

33. Ἀγαπάζουσι.] Φιλοφρονοῦνται. Φιλέοντ'.] Φιλικῶς ὑποδέχονται, ξενίζουσιν.

34. Πεποιθότες.] Θαρροῦντες.

35. Λαῖτμα.] Οἱ μὲ, ὁρμήματα· οἱ δὲ, τὸ κύτος· οἱ δὲ, τὸ ἀφώρισμα ἐκ πλάγιας· ἐξ οὗ τὸ μίγα καὶ θαλατὺ λέγει τὸ κῦμα.

36. Ὠκεῖαι.] Ταχεῖαι.

37. Ἡγήσατο.] Ἡγεμὼν ἦν ὁδοῦ ἐδείκνυε.

39. Ναυσικλυτοί.] Οἱ ἐκ τῶν θαλάσσων ἐνδοξοι.

40. Διὰ σφέας.] Δι' αὐτούς· ἀντὶ σοῦ, δι' αὐτῶν.

41. Δεινή.] Φοβερὰ, δέος ἀξία.

42. Φίλα φρονέουσα.] Τὰ κάλλιστα βουλομένη.

45. Ἀρηρότα.] Σεσωφαλισμένα.

49. Πεφραδέμεν.] Ἐπιδεῖξαι. Δήεις.] Εὑρήσεις.

50. Κίε.] Ποριεύου.

51. Ταρβεῖ.] Φοβοῦ.

ΝΟΤΑ.

Hic Ordo, Ἀλλ' ὅτε βασιλῆος δόμον ἵκανεν, τύπτεις θαῦ' ἦρχε &c. Quis locus hic pro ᾧ, verò? Poeticè τοῖσίδε, vel τῷδεσι, pro τύπτεις, ponitur. Vid. *H. Steph.* ad *Iliad. α'.* v. 58.

38. Μετ' ἴχνια βαῖνε θεοῖο) Θεὸς etiam de *Deâ* dicitur, ut *Virgil.* de *Venere*, Ducente Deo, ità mox, v. 41. δεινὴ θεός. Vid. ad v. 291.

47. Τοῖσίδε) Ità lego, pro τοῖσι ᾧ, *Sensu* omninò flagitante, ut aliàs sæpè, & *Br. Schol.* Iliad. β'. v. 160.

NOTÆ IN SCHOLIA.

32. In ipso fine, * Ἀνέχονται &c. MS. *GC.* & *Aloys.* MS. usque ad ἀναδέχονται, tantùm.

42. Φίλα φρονέουσα) Ex *GC.* MS.

VARIÆ LECTIONES.

35. Δῶκ' Ἐνοσίχθων) γρ. δῶκε Κρονίων, *H. Steph.*

47. Τοῖσίδε) γρ. τοῖσι ᾧ, & τοῖσδεσι, Vid. in *Textum*

Δέσποιναν μὲν πρῶτα κιχήσεαι ἐν μεγάροισιν,
Ἀρήτη δ' ὄνομ' ἐστὶν ἐπώνυμον· ἐκ δ' ὃ τοκήων
Τῶν αὐτῶν, οἵ περ τέκον Ἀλκίνοον βασιλῆα.
Ναυσίθοον μὲν πρῶτα Ποσειδάων ἐνοσίχθων
Γείνατο, καὶ Περίβοια, γυναικῶν εἶδος ἀρίστη,
Ὀπλοτάτη θυγάτηρ μεγαλήτορος Εὐρυμέδοντος,
Ὅς ποτ' ὑπερθύμοισι Γιγάντεσσιν βασίλευεν·
Ἀλλ' ὁ μὲν ὤλεσε λαὸν ἀτάσθαλον, ὤλετο δ' αὐτός.
Τῇδε Ποσειδάων ἐμίγη, καὶ ἐγείνατο παῖδα
Ναυσίθοον μεγάθυμον, ὃς ἐν Φαίηξιν ἄνασσε·
Ναυσίθοος δ' ἔτεκε Ῥηξήνορά τ', Ἀλκίνοόν τε.
Τὸν μὲν, ἄκουρον ἐόντα βάλ' ἐγχεγύοτος Ἀπόλλων,
Νυμφίον ἐν μεγάρῳ, μίαν οἴην παῖδα λιπόντα
Ἀρήτην· τὴν δ' Ἀλκίνοος ποιήσατ' ἄκοιτιν,
Καί μιν ἔτισ', ὡς οὔτις ἐπὶ χθονὶ πίσυνος ἄλλη,
Ὅσσαι νῦν γε γυναῖκες ὑπ' ἀνδράσιν οἶκον ἔχουσιν,
Ὡς κείνη τῷ καὶ κῆρι τετίμηταί τε, καὶ ἔστιν,
Ἔκ τε φίλων παίδων, ἔκ τ' αὐτοῦ Ἀλκινόοιο,

" Reginam quidem primò invenies in regiâ,
" Arete nomen est inditum ei: ex parentibus autem
" Eisdem est, qui utique genuerunt Alcinoum regem.
" Nausithoum quidem primùm Neptunus terræ-quassator
" Genuit, & Peribœa, mulierum forma pulcherrima,
" Minima natu filia magnanimi Eurymedontis,
" Qui olim superbis Gigantibus imperavit:
" Verùm hic quidem perdidit populum impium, perit & ipse.
" At cum illâ Neptunus congressus est, & genuit illum
" Nausithoum magnanimum, qui Phæacas rexit:
" Nausithous verò genuit Rhexenorem-que, Alcinoumque.
" Illum quidem virili-prole-carentem percussit decorus-arcu Apollo,
" Sponsum in regiâ, unicâ solâ filiâ relictâ
" Aretâ: hanc Alcinous duxit uxorem,
" Et ipsam honorabat, ut nulla super terrâ honoratur alia,
" Quotquot nunc mulieres sub viris domum habent,
" Quemadmodum illa ex animo honorabatur & *etiamnum in honore* est,
" Cum à charis liberis, tum ab ipso Alcinoo,

Σ Χ Ο Λ Ι Α.

53. Κιχήσεαι.] Νῦν αὐτὶ τοῦ *ἱκεπύσεις· ὁ γὰρ καθολικῆς σημαινέ.

54. Ἀρήτη δ' ὄνομ' ἐστίν.] Καθὸ ἀρετῶς ἢ εὐκταίως ἐβουνήθη. Ἐπώνυμον.] Φερώνυμον. Τοκήων.] Τῶν γονέων.

60. Ὤλεσεν.] Ἀπώλεσεν.

61. Ἐγείνατο.] Ἐγέννησεν.

63. Ῥηξήνορα.] Ὄνομα κύριον.

64. Ἄκουρον.] Ἄμοιρον ἄρρενος παιδὸς, ἢ μὴ γλυκήπωλα παίδα ἄρρενα.

65. Νυμφίον.] Νεωστὶ γαμηκότα. Λιπόντα.] Καταλιπόντα.

67. Τίσεν.] Τιμᾶται.

68. Ὅσσαι.] Ὁπόσαι.

N O T Æ.

53. Δέσποιναν μὲν πρῶτα) Hunc locum copiosè tractat *Julianus* Apostata, §. 3. p. 195.

59. Ὅς ποτ' ὑπερθύμοισι Γιγάντεσσιν βασίλευεν) Ex hoc *Homeri* loco, ut ex SS. Scripturis, abundè constat, Vastos & robustos homines olim extitisse, qui communem hominum staturam excederent: de quâ re *Kercherus*, in Mundo Subterraneo, *Fazellus*, De rebus *Siculis*, *Calius Rhodigin.* l. 2. c. 6. *Hugo Grotius*, l. 1. De Veritate *Christianæ* Religionis &c.

66. Τὴν δ' Ἀλκίνοος ποιήσατ' ἄκοιτιν) Hinc patet, *Alcinoum* Avunculum esse Uxoris suæ; quam Relationem, licet aliàs nullibi à se observatam dicat *Spondanus*, *Græcis* tamen familiarem fuisse agnoscent, qui *Demosthenem*, reliquosque *Græcos* Oratores perlegerit.

NOTÆ IN SCHOLIA.

53. *Ἱκεπύσεις) Ità emendo, pro ἱκεπύεις, idque MS. *Aloysiani* auctoritate.

54. Ἀρητῶς) Rectè, ut MS. *GC.* cum *Impressis*, concordat. MS. *Aloys.* ἀῤῥητῶς, errore manifesto *Exscriptoris*. Et cum hoc *Scholio* explicit toties nobis laudatum MS. *Gonvillo-Caiense*, pervetustum quidem & authenticum; in cujus fine scribitur, manu multùm recentiori, Τἄλλ' ἔχεις ἐν τοῖς πτυπωμένοις βιβλίοις, φύλλῳ οζ'. *Cætera habes in Libris Impressis, folio* 77. Quæ verba notant *Hervagianam* Editionem *Homeri*, cum *Scholiis*, *Basileæ*, An. MDXXXV. In istius enim Editionis folio, 77. hic locus reperitur, & sequentia auspicantur.

VARIÆ LECTIONES.

68. Νῦν γε) γρ. νῦν τε, *H. Steph.*

Καὶ

Καὶ λαῶν, οἵ μίν ῥα, θεὸν ὣς, εἰσορόωντες,
Δειδέχαθ' μύθοισιν, ὅτε στείχησι ἀνὰ ἄστυ.
Οὐ μὲν γάρ τι νόῳ γε χὴ αὐτὴ δεύεθ' ἑαθλῆ,
Οἷσίν τ' εὖ φρονέῃσιν, χὴ ἀνδράσι νείκεα λύῃ.
Εἰ κέν τοι κείνη γε φίλα φρονέῃσ' ἐνὶ θυμῷ,
Ἐλπωρή τοι ἔπειτα φίλους τ' ἰδέειν, χὴ ἱκέσθαι
Οἶκον ἐς ὑψόροφον χὴ σὴν ἐς πατρίδα γαῖαν.
Ὣς ἄρα φωνήσασ', ἀπέβη γλαυκῶπις Ἀθήνη
Πόντον ἔπ' ἀτρύγετον· λίπε δ' Σχερίην ἐρατεινήν·
Ἵκετο δ' ἐς Μαραθῶνα, χὴ εὐρυάγυιαν Ἀθήνην,
Δῦνε δ' Ἐρεχθῆος πυκινὸν δόμον· αὐτὰρ Ὀδυσσεὺς
Ἀλκινόου πρὸς δῶμα ἴε κλυτά· πολλὰ δέ οἱ κῆρ
Ὥρμαιν' ἰσαμβήῳ, πρὶν χάλκεον οὐδὸν ἱκέσθαι·
Ὡς γὰρ ἠελίου αἴγλη πέλεν, ἠὲ σελήνης,
Δῶμα κάθ' ὑψερεφὲς μεγαλήτορος Ἀλκινόοιο.
Χάλκεοι μὲν γὰρ τοῖχοι ἐληλάδαθ' ἔνθα χὴ ἔνθα,

"Et civibus, qui ipſam ſanè veluti deam ſuſpicientes,
"Excipiunt vocibus *fauſtis*; cùm incedit per urbem.
"Minimè enim mente etiam ipſa egeat bonâ,
"Quibuſque benè vult, etiam viris lites ſolvit.
"Si tibi igitur illa benè velit in animo,
"Spes eſt tibi poſtea amicóſque videre & pervenire
"Domum in excelſam & tuam in patriam terram.

Sic loquuta, abiit cæſia Minerva
Pontum per indomitum; deſeruit vero Scheriam amabilem;
Venitque ad Marathona, & lativias Athenas,
Et ingreſſa eſt Erechthei benè-munitam domum: ſed Ulyſſes
Alcinoi ad domum ibat inclytam: plurima verò illi cor
Cogitabat ſtanti, prius quàm ad æreum pavimentum veniſſet:
Inſtar enim ſolis ſplendor erat, aut lunæ,
Domum per excelſam magnanimi Alcinoi.
Ærei etenim parietes ducebantur hinc atque hinc,

ΣΧΟΛΙΑ.

72. Δειδέχαθ'.] Δεξιοῦνται. ἀσπάζονται. Στείχησι.] Περιόδῳ.

73. Δεύεθ'.] Ἐνδεῖς ὑπάρχῃ.

74. Οἷσίν τ' εὖ φρονέῃσι.] Καὶ οἷς ἂν εὐφρονῇ ἡ Ἀρέτη, καὶ νείκη, ἢ πρὸς ἀλλήλους διαφορὰς τὰ ἀνδρῶν, χὴ τὰ γυναικῶν διαλύῃ.

79. Σχερίην.] Ἡ τῶν Φαιάκων χώρα, ἡ νῆσος· χὴ ἡ Κέρκυρα τὸ πέλαγος ὅπως σαλεύῃτο.

80. Μαραθῶνα.] Τόπον τῆς Ἀττικῆς. Ἀθήνην.] Νῦν τὴν πόλιν, πρὸς Ἀθήνας.

81. Δῦνε.] Κατέδυ, εἰσῆλθεν. Ἐρεχθῆος πυκινὸν δόμον.] Τὸ ἑαυτῆς τίμιον· ἐν τούτῳ γὰρ ἐτράφη Ἐρεχθεύς.

86. Ἐληλάδαθ'.] Παραπεφυκότες· οἱ ἢ ἐρηρέδατο, ἠρμοσμένοι ἦσαν.

NOTÆ.

74. Καὶ ἀνδρῶν νείκεα λύει) Non omittenda hoc in loco, de hâc *Alcinoi* Conjuge Regiâ hiſtoriola, huc pertinens, licet ab *Euſtathio* omiſſa; quam tamen *Onomacritus*, Argonaut. v. 1321. memorat, & *Apollonius Rhodius*, Quando *Æeta* Legati, ſui Regis nomine, ab *Alcinoo* poſtulabant, *Medeam* filiam ſibi reddendam, quæ cum *Jaſone* & *Argonautis* à ſuo Patre illuc confugerat, & *Alcinoo* juſta illa videbatur poſtulatio, *Arete* ſtatim Regina hanc conditionem interpoſuit, Modò *Medea* adhuc eſſet Virgo intacta, nec à *Jaſone* compreſſa; alioquin enim Matrimonium nullo modo ſolvi debere. Quæ conditio quùm *Argonautis* clàm eſſet declarata, *Jaſon* ſtatim, ſuper ſubſtrato Aureo Velleri, Virginitatem illi eripuit, atque ità *Rhœcum* protectionem obtinuit.

86. Ἐληλάδαθ') Olim ἐρηρέδαθ', ab ἐρείδω. At Vox ἐληλάδαθ', ut *Br. Schol.* & *H. Stephanus* legunt, huic loco aptior videtur; nam de parietibus æneis, qui ductilibus certè laminis erant induti, Vox ἐλαύνω propriè uſurpatur; mox autem ad v. 95. οὐ γὰρ θέμις οὐδὲ τοῖχον ἐρηρέδαθ', ibi quidem Vox ἐρείδω ſignificantior: quare meo quidem judicio, vox ἐληλάδαθ hoc in loco ſcribenda, ut MS. *Scholia Aloyſii* expreſsè legunt, illo poſteriori loco, ἐρηρέδαθ. Et ipſe mox Poeta, v. 113. eâdem voce utitur, de Sepimento, Muri inſtar erecto, ἀμφὶ δ' ἕρκος ἐλάλατο. *Brevia Scholia*, Ἐλήλατο· Τετείχιστο. Sic *Heſiod.* Theogon. v. 726. Τὸν ἀμφὶ χάλκειον ἕρκος ἐλήλατο. Hanc denique *Lectionem* agnoſcit *Euſtathius* Edit. *Roman.* fol. 1569. lin. 62. & ſimilem ait, huic, ἕρκος ἐλήλατο, &, ἀμφὶ δὲ τεῖχος ἦλασε πόλῃ. Ἐληλάδαθ, pro ἐληλαμμένοι ἦσαν, & ἐρηρέδαθ, pro ἐρηρεισμένοι, *Ionicè*, Reduplicatione *Atticâ* inſuper aſſumptâ.

VARIÆ LECTIONES.

74. Οἷσίν τ' εὖ φρονέῃσι) χ. ὅσσίν τ' εὖ φρονέῃσι, καὶ ὅσσίν τ' εὐφροσύνῃσι, *Euſtath.* & *H. Steph.*

86. Ἐληλάδαθ') χ. ἐρηρέδαθ'. Vide in *Textum.*

Ἐς μυχὸν ἐξ ὑδοῦ· περὶ δ' θείλικος αὐλείοιο
Χρύσειαι δ' θύραι πυκινὸν δόμον ἐντὸς ἔεργον·
Σταθμοὶ δ' ἀργύρεοι ἐν χαλκέῳ ἕστασαν οὐδῷ,
Ἀργύρεον δ' ἐφ' ὑπερθύριον, χρυσείη δ' ὀρώνη.
Χρύσειοι δ' ἑκάτερθε κ' ἀργύρεοι κύνες ἦσαν,
Οὓς Ἥφαιστος ἔτευξε ἰδυίῃσι παλάμῃσι,
Δῶμα φυλασσέμεναι μεγαλήτορος Ἀλκινόοιο,
Ἀθανάτους ὄντας κ' ἀγήρως ἤματα πάντα.
Ἐν δ' θρόνοι περὶ τοῖχον ἐρηρέδαται ἔνθα κ' ἔνθα,
Ἐς μυχὸν ἐξ οὐδοῦ διαμπερές· ἔνθ' ἐνὶ πέπλοι
Λεπτοὶ εὐῆνται βεβλήατο, ἔργα γυναικῶν.
Ἔνθάδε Φαίηκων ἡγήτορες ἑδριόωντο,
Πίνοντες κ' ἔδοντες· ἐπηετανὸν γὰρ ἔχεσκον.
Χρύσειοι δ' ἄρα κοῦροι ἐϋδμήτων ἐπὶ βωμῶν
Ἕστασαν, αἰθομένας δαΐδας μετὰ χερσὶν ἔχοντες,
Φαίνοντες νύκτας κατ' δώματα δαιτυμόνεσσι.
Πεντήκοντα δὲ οἱ δμωαὶ κατ' δῶμα γυναῖκες·

In intimum receſſum à limine: pinnaculum autem ex cyano:
Aureæ verò fores firmam domum intùs claudebant:
Poſtes item argentei in æreo ſtabant limine,
Argenteum quoque ſuperliminare, aurea item cornix:
Aureique utrinque & argentei canes erant,
Quos Vulcanus fecerat peritis præcordiis,
Domum ut cuſtodirent magnanimi Alcinoi,
Immortales exiſtentes & ſenio non obnoxios dies omnes.
Intus ſolia circa murum firmata erant hinc atque hinc,
Ad intimum receſſum à limine: ubi ſuper iis pulvilli
Tenues benè neti ſtrati erant, opera mulierum.
Hic Phæacum primates ſedebant,
Bibentes & edentes; affatim enim habebant.
Aurei verò juvenes ſuper politis columellis
Stabant, ardentes faces manibus geſtantes,
Illucentes nocte per domum convivantibus.
Quinquaginta autem ei ancillæ per domum fœminæ:

ΣΧΟΛΙΑ.

87. Ἐς μυχὸν ἐξ ὑδοῦ.] Ἀπὸ τ οὐδοῦ, ἕως τ ἴσω χωρίας. Μυχόν.] Τὸ ενδότατον τ οἰκίας. Θεογκός.] Ὁ περίβολος τ οἰκίας, ἢ τὸ ἐπικόσμημα τ τοίχου.

88. Ἔεργον.] Ἀπῆρχον, ἐκώλυον, περιεῖχον.

89. Σταθμοί.] Αἱ παραστάδες.

90. Κορώνη.] Τὸ ἐπίσαιρον τῆς θύρας· ἅτινα τὸ κελκίον,

91. Χρύσειοι δ'] ἑκάτερθε καὶ ἀργύρεοι κύνες ἦσαν.] Ἦτοι κυνέας, ἢ ἅλως λέγει, παρ' ὃ καὶ κυναύδας φαμὲν, ἢ τὰς ἁπλᾶς ἅλως· τινὲς δ φασὶν τὰς δαδίδας οὕτω Ἥρας Ποσειδῶνι ὑπὲρ τ συλλαβεῖν αὐτὰ πρὸς τὸν τ

Διὸς ἐπίθεσιν, ἅτινες περιελθοῦσαι εἰς Ἀλκίνοον. Ἐκάτερθεν.] Ἑκατέρωθεν.

92. Ἰδυίῃσιν.] Ἐμπειρίοις. Περαπίδεσσι.] Φρεσίν.

95. Ἐρηρέδαται.] Ἐνηρμοσμένοι ἦσαν.

97. Εὐῆνται.] Εὖ ῥαιστμένοι. Βεβλήατο.] Ἐπέκειντο.

99. Ἐπηετανόν.] Ἀδιαλείπτως.

100. Χρύσειοι δ' ἄρα κοῦροι.] Ἀνδριάντες τινές. Ἐϋδμήτων.] Καλῶς οἰκοδομημένων. Ἐπὶ βωμῶν.] Ἐπὶ τ βάσεων.

101. Ἕστασαν.] Ἵσταντο.

102. Δαιτυμόνεσσιν.] Εὐωχυμένοις.

NOTÆ.

89. Ἀργύρεοι δ' σταθμοί) Quòd σταθμὸς *Primam* habeat communem, nequis Tyronum miretur, ſuppetunt Exempla, quæ congeſſimus ad *Euripid.* Phœniſſ. v. 19. Legi tamen poteſt, Σταθμοὶ δ' ὀρ-

NOTÆ IN SCHOLIA.

90. Ultimam vocem *Κελκίον emendo, ex corrupto κελγκίον, cùm κελγκίον nullibi extet, nihil ſonet; at κελκίον ſit ὑποκορεστικὸν, à κέλκω, *Annulus*, ut κελκίλλιον. Et *Euſtath.* fol. 1570. lin. 31. Καὶ ἡ Κορώνη, τὸ κελκίον δηλαδὴ, ὃ ἐπισπᾶται τὴν θύραν.

100. Βωμῶν) Ἐπὶ τ βάσεων. Nunc de elevatioribus Columellis loquitur, ex primævâ *Etymologiâ*, Bamah, *Ezekiel*, c. 20. v. 29. Vid. *Etymolog.* M. v. Βωμός.

VARIÆ LECTIONES.

87. Θεγκὸς) γρ. πτγκὸς, *Euſtath.* fol. 271. lin. 41. 44, &c.

89. Σταθμοὶ δ' ἀργύρεοι) γρ. ὀργύρεοι ὃ σταθμοὶ Vett. Editt.

90. Ἐφ' ὑπερθύριον) γρ. ἰφυπερθύριον.

92. Ἔτευξεν ἰδυίῃσι) γρ. ἔτευξ' εἰδυίῃσι, vid. ad *Iliad.* υ'. v. 12. in *Textum*.

97. Εὔηνται) γρ. ἰύηνται, *H. Steph.*

101. Μετὰ χερσὶν ἔχοντες) γρ. μὴ χερσὶ φέροντες, *Max. Tyr.* §. 3. p. 34.

103. Δέ οἱ) γρ. δ' ἅσαι, *H. Steph.*

Αἱ

Αἱ μὲν ἀλεςεύσι μύλης ἔπι μήλοπα καρπὸν,
Αἱ δ' ἱςοὺς ὑφόωσι καὶ ἠλάκατα τροφόωσιν
Ἥμεναι, οἷά τε φύλλα μακεδνῆς αἰγείροιο·
Καιροσέων δ' ὀθονέων ἀπολείβεται ὑγρὸν ἔλαιον·
Τόσσον Φαίηκες πέρι πάντων ἴδριες ἀνδρῶν
Νῆα θοὴν εἰρέσσεμεν, ὡς ἢ γυναῖκες
Ἰδυῖαι τεχνῆσαι· πέρι γάρ σφισι δῶκεν Ἀθήνη
Ἔργα τ' ἐπίσασθαι περικαλλέα, καὶ φρένας ἐσθλάς.
Ἐκτοθεν δ' αὐλῆς μέγας ὄρχατος ἄγχι θυράων
Τετράγυος· περὶ δ' ἕρκος ἐλήλαται ἀμφοτέρωθεν.
Ἔνθάδε δένδρεα μακρὰ πεφύκασι τηλεθόωντα,
Ὄγχναι, καὶ ῥοιαὶ, καὶ μηλέαι ἀγλαόκαρποι,

Aliæ quidem molunt sub molâ pomacci coloris frumentum,
Aliæ telas texunt & pensum versant
Sedentes, qualiter folia excelsæ populi;
Staminatisque vestibus distillat *quasi* humidum oleum.
Quantum Phæaces supra omnes periti sunt homines
In celeri nave, per pontum navigare; tantum etiam mulieres *præstant*
In telâ operandâ: supra modum enim illis dedit Pallas
Operáque scire perpulchra & ingenium bonum.
Extra verò aulam ingens hortus propè januas
Quatuor jugerum; circa autem septum deductum est utrinque;
Ibi arbores proceræ crescebant floréntes,
Pirus & malus punica, & *alia* mali pulchrum-fructum producentes,

ΣΧΟΛΙΑ.

104. Ἀλεςεύσι.] Ἀλῶσιν. Μύλης ἔπι.] Ἐν τοῖς μύλοις, ἐπὶ τῆς μύλοις. οἱ δὲ, ὅτι τὸ ἔριον ἐπὶ ξύλου ἔτριφον· μύλη δὲ, τὸ ἄκρον δὲ μηρῶ. Μήλοπα καρπόν.] Τὸν πυρόν· μηλοειδὴς γὰρ ἐπὶ τῶν χροιᾶν. Ἄλλοι, Μύλης ἔπι.

105. Ἱφόωσιν.] Ἱφαίνουσιν. Στρωφῶσι.] Στρέφουσιν, ἐργάζονται.

106. Ἥμεναι.] Καθήμεναι. Οἷά τε φύλλα μακεδνῆς αἰγείροιο.] Οἱ μὲν, ὅτι ἐλατοειδῆ πάχος ἐπέχον τὸ ἔμβρυα διαφοειδῶς· οἱ δὲ, ὅτι πεπόνηνται τὸ δένδρον τοῖς φύλλοις· φύλλα δὲ, ἤτοι ἀφ' τὸ πλῆθος, ἢ ἀφ' τὸ σύκινον δ' χωρεῖν τὸ τῇ τρόφει τῶν κρόκων, ὡς καὶ τὰ φύλλα τ' αἰγείρου ἀντιπαραμοιβαῖα ἀλλήλοις, καὶ εὐκίνητα ῥαδίως, καὶ ἀεὶ τυχόντος αὔρης· ὡς καὶ Σοφοκλῆς ἐν Ἀτρεῖ. Ὥστε δὲ τὰ φύλλοισιν αἰγείρου μακρᾶς, Κἂν ἄλλο πνεῦσῃ, πᾶσα τακείσης κόμης Κινεῖται, αὔραις κἀπακμάζει πλάτει. Μακεδνῆς.] Τῆς μακεδνῶς δ' ὑψηλῆς, παρὰ τὸ μῆκος.

107. Καιροσέων.] Εὐύφων, εὖ κεκαιρωμένων· καὶ-ρωμα δ' ἐστὶ τὸ ἀλαπλεκόμενον ἐν τῷ ῥήμασι, παρὰ τὸ μίτον· ὑφαίρ δ' μὴ συγχεῖν τὰς ῥήμασι. ὅθεν λέγει μέρος δ' μιτόμματος, τὰς ὅλας εὐύφεῖς λέγων. Ἀπολείβεται ὑγρὸν ἔλαιον.] Ἤτοι ὕσπερ ἦσαν πυκναὶ, ὡς μηδὲ ἔλαιον δι' αὐτῶν διελθεῖν, ἢ ἐξωθεν, ὡς ἔλαιον, ἔπλεον ἀφ' τῶν λευκότητα· ἢ τρυφεραὶ ἦσαν, ὡς δυκεῖν λαβεῖν ῥεῖν· ἢ ὕστις λαβεῖν τὸ μίτον, ὡς δοκεῖν ἔλαιον ἀποβάλλειν.

108. Ἴδυῖαι.] Ἐπιςήμονες, ἔμπειροι.

109. Ὡς ἢ γυναῖκες.] Νῦν, τὸ ὡς, ἀντὶ δ' τοσοῦτον.

110. Τεχνῆσαι.] Τεχνίτιδες.

112. Ὄρχατος.] Ἡ ἐπὶ τίχει, καὶ ἐν τάξει τ' ἀμπέλων φυτεία, ὄρχατος λέγει, ἢ κῆπος.

113. Τετράγυος.] Τεσσάρων γωνῶν· γύη δὲ μίτεσι γῆς μαρμαρίου. Ἕρκος.] Περίφραγμα, τεῖχος. Ἐλήλαται.] Τετείχισται. Ἀμφοτέρωθεν.] Νῦν, πανταχόθεν.

114. Τηλεθόωντα.] Πάνυ θάλλοντα.

115. Ὄγχναι.] Ἄπιοι. Ἀγλαόκαρποι.] Λαμπρὸν καρπὸν φέρουσαι.

NOTÆ.

107. Ἐχρὸν ἔλαιον) Quare ἔλαιον sit præ cæteris ὀχρὸν, vid. ad ζ'. v. 79.

110. Τεχνῆσαι) Pro τεχνήσασθ, ut Δωρίων τελαμῶνα χρυσάωτον. *Homerus*, apud *Plutarch.* in Vitâ *Homeri*, ubi pro δωρίσασθαι. *Br. Schol.* videntur τεχνῆσαι legere, & per τεχνίτιδες exponere, ut *Eustathius* etiam, fol. 1572. lin. 8. per τεχνικαὶ exponit, ut πχνήσασαι pro πχνήσεσαι formetur, quomodò πωήντος, pro τιμήεντος, de quâ re, Nos ad ζ'. v. 303.

115. Ὄγχναι) Malè olim ὄγχνας in hoc loco; verùm ὄγχνα legendum evincitur, ex ω'. v. 246. ubi *Prior* Syllaba communis, ut in τίχνη, quod fieri nam & in Veteribus, *Aldinâ*, *Parisiensi*, *Hervagianâ* inveniuntur. Male tamen ibi Τεχνῆσαι) Τεχνίδες. Quod *Scholion*, quià *Variam Lectionem* præterre videtur, intactum fino, aliàs ut falsum & ineptum rejecissem. Vid. in *Textum*.

115. Ὄγχναι) Ἄπιοι. Ità ex *Morrhii* Edit. &c. pro corrupto, Ὄγχνη) Ἄπι.

VARIÆ LECTIONES.

104. Μύλης) γρ. μύλῃς, *Br. Schol.*

110. Τεχνῆσαι) γρ. τεχνῆσαι, vid. Not. in *Textum*.

114. Ἐνθάδε) γρ. ἔνθα δ'.

115. Ὄγχναι) γρ. ὀγχνας, vid. in *Textum*.

Συκαῖ τε γλυκερὰι, ἠ ἐλαῖαι τηλεθόωσαι·
Τάων δ' οὔποτε καρπὸς ἀπόλλυθ', οὐδ' ἀπολείπει
Χείματός τε θέρεός τε, ἐπετήσιος· ἀλλὰ μάλ' αἰεὶ
Ζεφυρίη πνείουσα, τὰ μὲν φύει, ἄλλα δὲ πέσσει.
Ὄχνη ἐπ' ὄχνῃ γηράσκει, μῆλον δ' ἐπὶ μήλῳ,
Αὐτὰρ ἐπὶ σταφυλῇ σταφυλὴ, σῦκον δ' ἐπὶ σύκῳ.
Ἐνθάδε οἱ πολύκαρπος ἀλωὴ ἐρρίζωται·
Τῆς ἕτερον μὲν, θειλόπεδον λευρῷ ἐνὶ χώρῳ
Τέρσεται ἠελίῳ· ἑτέρας δ' ἄρα τε τρυγόωσιν,
Ἄλλας δὲ τραπέουσι· πάροιθε δέ τ' ὄμφακές εἰσιν,
Ἄνθος ἀφιεῖσαι, ἕτεραι δ' ὑποπερκάζουσιν.
Ἐνθάδε κοσμηταὶ πρασιαὶ ῥοῇσι νέατον ὄρχον
Παντοίῃ πεφύασιν, ἐπιστείβανον γανόωσαι·
Ἐν δὲ δύω κρῆναι, ἡ μὲν τ' ἀνὰ κῆπον ἅπασαν
Σκίδναται, ἡ δ' ἑτέρωθεν ὑπ' αὐλῆς οὐδὸν ἵησι

Ficúsque dulces, & oleæ virescentes.
Ex iis fructus nunquam perit, neque deficit
Hyeme, neque æstate, totò anno durans; sed sanè semper
Zephyrus spirans, hæc crescere facit, aliaque matureſcere.
Pirus post pirum senescit, pomum post pomum,
Porrò post uvam uva, ficúsque post ficum.
Ibi ei fructuosa vinea plantabetur:
Hujus alterum quidem apricum solum lato in loco
Aresci sole; alias sanè vindemiant,
Alias item calcant; ulteriùs tamen uvæ immaturæ sunt
Florem emittentes, nonnullæ iam submaturescunt.
Ibi exculti horti ad extremam seriem
Omnis-generis producuntur toto-anno florentes;
Duo præterea fontes aderant, alter quidem per hortum universum
Dispergitur, alter autem ex alterâ parte sub aulæ limen vadit

Σ Χ Ο Λ Ι Α.

116. Τηλεθόωσαι.] Θάλλουσαι, ἀκμάζουσαι.

118. Χείματος.] Χειμῶνος. Θέρεός.] Θέρους. Ἐπετήσιος.] Ἑκάστου ἐνιαυτοῦ, ἢ ἐφ' ὅλῳ * τῷ ἔτει τοῦ ἐνιαυτοῦ.

119. Ζεφυρίη] Ἡ διὰ ζεφύρου πνοή. Πέσσει.] Πεπαίνει, πέπειρα ποιεῖ.

120. Ὄχνη.] Ἄπιος.

122. Ἀλωή.] Ἀμπελόφυτος γῆ. Ἐρρίζωται.] Πεφύτευται.

123. Θειλόπεδον.] Ἔνθα θηλοῦσι μάλιστα βοτρύων, καὶ ἡλιοῦται, καὶ ψύχονται ἢ ὁ ψυκτήρ. Λευρῷ.] Λείῳ, ὁμαλῷ, ἢ πλατεῖ.

124. Τέρσεται.] Ἀντὶ τοῦ, * πίφρυκται.

125. Τραπέουσι.] Πατοῦσιν. Πάροιθε δέ τ' ὄμφακές εἰσι.] Τὸ πλῆθος ἀμφιβολίαν ἐν τούτῳ ἔχει τοῦ ἑτέρου τόπου, διὸ πάλιν ἐπιφέρει, ἕτεραι δέ τ' ὑποπερκάζουσιν, ἀντὶ ὅλως.

126. Ἄνθος ἀφιεῖσαι.] Ἀπὸ ἄνθους εἰς ὄμφακας μεταβάλλουσαι. Ὑποπερκάζουσι.] Τῇ παρεισούσῃ ἀκμάζουσιν· οἷον ἐκ δὲ ὄμφακος μεταβάλλουσιν εἰς τὸ μείζονα καὶ σταφυλῆς χρῶμα ἀπαυγάσασαι.

127. * Κοσμηταὶ.] Ἐν τάξει διαπεπλεγμέναι. Πρασιαὶ.] Αἱ λαχανεῖαι, ἢ αἱ τῶν φυτειῶν πτερύγωσεις χάσεις, ὡς τὸ πλινθίον. Νέατον.] Ἔσχατον. Ὄρχον.] Σπόρον ἀμπέλου.

128. Πεφύασιν.] Εἰσὶν, ὑπάρχουσιν. Γανόωσαι.] Θάλλουσαι, λάμπουσαι. Ἐπιστειβανὸν γανόωσαι.] Διηνεκῶς λάμπουσαι.

130. Ἴησι.] Ῥεῖ.

N O T Æ.

non potuit, si cum tribus consonantibus scriberetur. Et ità *Diodorus Siculus* legit fol. 139. & 211. *Max. Tyrius*, §. 4. p. 40. Edit. *Davisian.* cum Editt. *Morrhii*, &c.

119. Ζεφυρίη) Subaudi πνοὴ, vel αὔρα. In hâc voce *prior* Syllaba producitur, ante *Aspiratam*, vel, ut *Polysyllaba* alia, de quâ re, ad *Iliad. β'.* v. 113. vel *Tribrachys*, in *primâ* sede, & proinde Versus ἀκέφαλος, ut *Odyss. μ'.* v. 423. Ἐπίτροπος βέβληται, βοὸς ῥινοῖο τετυγμένος.

126. Ἄνθος ἀφιεῖσαι) *Prior* Syllaba Ἄνθος *ibis*, per se *Communis*, plus semel *Homero* producitur, ut *Iliad α'.* v. 51. Αὐτὰρ ἔπειτ' αὐτοῖσι βέλος ἐχέπευκες ἀφιεὶς, & *Odyss. μ'.* v. 192. Ὡς φάσαν, ἐίσατο δ' ὅπα κάλλιμος. De quâ re diximus ad *Euripid.* Phœniss. v. 490.

NOTÆ IN SCHOLIA.

118. MS. *Aloys.* ad * ἔτει legit, nec ampliùs; quare Ἑ ἐνιαυτῷ, quod sequitur, in *Aldin. Hervag. Parisian.* & *Schrevelian.* delerem prorsus; nisi scirem, τὸ ἔτος etiam dici de qualibet Anni parte, ut τέσσαρα ἔτη ἐνιαυτοῦ.

124. Τέρσεται) Ἀντὶ Ἑ, * πίφρυκται. Ità emendo, pro πιφύτευται, quod malè hìc, bene suprà, ad v. 122.

127. * Κοσμηταὶ, ad Διαπεπλεγμέναι, ex MS. *Aloys.*

Variæ Lectiones.

117. Ἀπολείπει) γρ. ἐπιλείπει, *Hackian.* non æquè bene. *Eustath.* & Vett. ἀπολ.

120. Ὄχνη) γρ. ὄγχνη, ut suprà, v. 115.

Πρὸς δόμον ὑψηλὸν, ὅθεν ὑδρεύοντο πολῖται.
Τοῖά ῥ' ἐν Ἀλκινόοιο θεῶν ἔσαν ἀγλαὰ δῶρα,
Ἔνθα ϛὰς θηεῖτο πολύτλας δῖος Ὀδυσσεύς.
Αὐτὰρ ἐπειδὴ πάντα ἐῷ θήσαλτο θυμῷ,
Καρπαλίμως ὑπὲρ οὐδὸν ἐβήσαλο δώμαλος εἴσω.
Εὗρε δ' Φαίηκων ἡγήτορας ἠδὲ μέδοντας
Σπένδοντας δεπάεσσιν εὐσκόπῳ Ἀργεϕόντῃ,
Ὧι πυμάτῳ σπένδεσκον, ὅτε μνησαίατο κοίτου.
Αὐταὶρ ὁ βῆ διὰ δῶμα πολύτλας δῖος Ὀδυσσεὺς,
Πολλὴν ἠέρ' ἔχων, τὴν οἱ περίχευε Ἀθήνη,
Ὄφρ' ἵκετ' Ἀρήτην τε καὶ Ἀλκίνοον βασιλῆα,
Ἀμφὶ δ' ἄρ' Ἀρήτῃ βάλε γούνασι χεῖρας Ὀδυσσεύς.
Καὶ τότε δή ῥ' αὐτοῖο πάλιν χύτο θέσφατος ἀήρ.
Οἱ δ' ἄνεῳ ἐγένοντο δόμον κατὰ φῶτα ἰδόντες.
Θαύμαζον δ' ὁρόωντες· ὁ δ' ἐλλιτάνευεν Ὀδυσσεὺς,
Ἀρήτη, θύγατερ Ῥηξήνορος θείοιο,
Σόν τε πόσιν, σά τε γούνα δ' ἱκάνω, πολλὰ μογήσας
Τῆνδε τε δαιτυμόνας, τοῖσιν θεοὶ ὄλβια δοῖεν
Ζωέμεναι, καὶ παισὶν ὀπηδέμεν ἕκαστος
Κτήματ' ἐνὶ μεγάροισι, γέρας δ', ὅ, τι δῆμος ἔδωκεν·
Αὐταὶρ ἐμοὶ πομπὴν ὀτρύνετε πατρίδ' ἱκέσθαι

Ad domum excelsam, unde aquabantur cives.
Talia certè in Alcinoi domo deorum erant splendida dona:
Ubi stans admirabatur patiens divus Ulysses.
Cæterùm postquam omnia suo admiratus esset animo,
Celeriter super limen ingressus est domum intra.
Invenit autem Phæacum duces atque consiliarios
Libantes poculis speculatori Mercurio,
Cui ultimo libabant, quandò cogitabant de lecto.
Cæterum ipse ivit per domum patiens divus Ulysses,
Multam caliginem habens, quam ei circumfudit Pallas,
Donec pervenit ad Areten & Alcinoum regem;
Aretæ autem circumjecit genibus manus Ulysses:
Et tum certè rursus ab ipso dissipatus est divinitùs affusus aer.
Hi verò tacti facti per domum, ut virum conspexerunt,
Admirabanturque videntes: dum supplicavit Ulysses,
" Arete, filia Rhexenoris divini,
" Ad tuum maritum, & ad tua genua pervenio plurima passus,
" Et ad hosce convivas; quibus dii feliciter dent
" Vivere, & liberis transmittant singuli
" Bonaq; domi quæ sunt: honoremque, quemcunque populus concesserit.
" Cæterum mihi deductionem parate ad patriam perveniendi

ΣΧΟΛΙΑ.

131. Ὑδρεύοντο.] Ὕδωρ ἐλάμβανον.
132. Τοῖα.] Τοιαῦτα.
137. Εὐσκόπῳ.] Καλῶς σκοπῶλι.
138. Ὧι πυμάτῳ.] Ἐπὶ ὀπιεροπομπῷ, ἢ ὕπνῳ παρεπλικὸς· διὸ, εἶλετο ϗ ῥάβδον, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει· Κοίτου.] Κοίτης.
143. Θέσφατος.] Θεῖος, θαυμασίς.
144. Ἄνεω.] Ἥσυχοι.
148. Ὄλβια δοῖεν Ζωέμεναι.] Ἐν εὐδαιμονίᾳ παραίχοιεν ζῆσαι.
149. Ἐπιτρέψειεν.] Παραδοῖεν.
151. Ὀτρύνετε.] Ἐπείξατε, παρορμήσατε.

NOTÆ.

131. Πρὸς δόμον ὑψηλὸν· ὅθεν ὑδρεύοντο πολῖται) *Florent. Roman Basilienſis, Aldin. & Lovan.* ὑδρεύονται legentes, errorem aliis proteminârunt. *Henricus Stephanus* illam vocem ad *Var. Lectiones* rejecit, & in *Textum* ὑδρεύοντο primus recepit, non ob *Metrum* modò, verùm ipſo *ſenſu* poſtulante. *Iſaac. Caſaubonus* Verſus aliquot ſimiles corruptos huc ad oram ſui Codicis congerit, quos defendere fatigit, cùm potiùs emendare debuiſſet. *Brevia Scholia* in omnibus Editt. Ὑδρεύοντο) Ὕδωρ ἐλάμβανον. Quin ſimilem locum habemus, *Odyſſ. ρ'. v.* 206. Τυκτὸν, καλλίροον· ὅθεν ὑδρεύοντο πολῖται, ubi Omnes Codd. conſentiunt legendo, ὑδρεύοντο.

138. Ὧι πυμάτῳ σπένδεσκον) Remotis Epulis, proxima Potio erat, Ἀγαθοῦ Δαίμονος. *Heſych.* Ἀγαθοῦ Δαίμονος πόμα. *Ælian.* Var. Hiſtor. l. 1. c. 20. Edit. *Jacobi Perizonii. Meurſius, Græc.* Feriat. v. Ἀγαθεσία. *Suidas*, & *Homeri* Interpretes in hunc locum.

145. Ἐλλιτάνευεν) Vid. ad ε'. v. 325.

VARIÆ LECTIONES.

131. Ὑδρεύοντο) γρ. ὑδρεύονθ', vid. in *Textum*.
132. Τοῖα ῥ') γρ. τοῖ' ἄρ', *H. Steph.*
145. Ἐλλιτάνευεν) γρ. ἐλιτάνευεν, Vid. ad α'. v. 298.
149. Ἐπιτρέψειεν ἕκαστος) γρ. ἐπιτρέψειαν ἕκαστοι, *H. Steph.*

Θᾶσσον· ἐπειδὴ δηθὰ φίλων ἄπο πήματα πάσχω.
Ὡς εἰπὼν καθ' ἄρ' ἕζετ' ἐπ' ἐσχάρῃ σὺν κονίῃσι
Πὰρ πυρί· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
Ὀψὲ δὴ μετέειπε γέρων ἥρως Ἐχένηος,
Ὃς δὴ Φαιήκων ἀνδρῶν προγενέστερος ἦεν,
Καὶ μύθοισι πέπασθε, παλαιά τε, πολλά τε εἰδώς.
Ὅς σφιν εὐφρονέων ἀγορήσατο καὶ μετέειπεν,
Ἀλκίνοε, σὺ μὲν τοι τόδε κάλλιον, οὐδὲ ἔοικε,
Ξεῖνον μὲν χαμαὶ ἧσθαι ἐπ' ἐσχάρῃ σὺν κονίῃσιν·
Οἵδε δὲ σὸν μῦθον πολυδέγμονες ἐχανόωνται.
Ἀλλ' ἄγε δὴ ξεῖνον μὲν ἐπὶ θρόνου ἀργυροήλου
Εἶσον ἀναστήσας· σὺ δὲ κηρύκεσσι κέλευσον
Οἶνον ἐπικρῆσαι, ἵνα καὶ Διὶ τερπικεραύνῳ
Σπείσομεν, ὅσθ' ἱκέτῃσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ·
Δόρπον δὲ ξείνῳ ταμίη δότω ἔνδον ἐόντων.
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσ' ἱερὸν μένος Ἀλκινόοιο,
Χειρὸς ἑλὼν Ὀδυσῆα δαίφρονα, ποικιλομήτην,
Ὧρσεν ἀπ' ἐσχαρόφιν, καὶ ἐπὶ θρόνου εἷσε φαεινοῦ,
Υἱὸν ἀναστήσας, ἀγαπήνορα Λαοδάμαντα,
Ὃς οἱ πλησίον ἷζε, μάλιστα δέ μιν φιλέεσκε.
Χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχυθε φέρουσα
Καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
Νίψασθ'· πρὸς δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν·
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
Εἴδατα πολλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων·
Αὐτὰρ ὁ πῖνε καὶ ἦδε πολύτλας δῖος Ὀδυσσεύς.
Καὶ τότε κήρυκα προσέφη μένος Ἀλκινόοιο,

" Ocyùs; quoniam diù ab amicis ærumnas patior.
Sic fatus resedit ad focum in cineribus
Juxtà ignem; illi certè omnes facti taciti silentio.
Serò tandem interfatus est senex heros Echenéus,
Qui certè Phæacum virorum maximus natu erat,
Et eloquentiâ præstabat, priscaque & plurima doctus.
Hic inter eos benignè sentiens concionatus est & interfatus,
" Alcinoë, non sanè tibi hoc honestius, neque convenit,
" Hospitem quidem humi sedere ad focum in cineribus;
" Ast hi tuum jussum expectantes desistunt.
" Verùm age tandem hospitem in sede argenteis clavis *distincta*
" Colloca surgere jubens: tu autem præconibus impera
" Vinum adhuc infundere; ut & Jovi fulminatori
" Libemus, qui supplices venerandos comitatur:
" Cœnam verò hospiti proma det ex *rebus, quæ* sunt intus.
Porrò ut hoc audivit sacrum robur Alcinoi,
Manu prehensum Ulyssem prudentem, varium-consilio,
Levavit à loco, & in sedem locavit splendidam,
Filio cedere jusso, dilecto Laodamante,
Qui ei proximus sedebat; maximeque *ipsum* amabat.
Aquam tum ancilla gutturnio superinfudit ferens
Pulchro, aureo, super argenteum lebetem,
Ad lavandum, juxtáque politam extendit mensam:
Panem verò veneranda proma apposuit ferens,
Fercula multa inferens, gratificans de præsentibus *rebus*:
Cæterùm ipse bibebat & comedebat prudens divus Ulysses.
Et tum præconem alloquutum est robur Alcinoi,

Σ Χ Ο Λ Ι Α.

154. Ἀκλεὴς.] Ἡσύχως.
157. Κέκασο.] Παρώδησον μέ.
160. Ἐπ' ἐσχάρῃ.] Παρὰ τὴν ἐσχάραν.
161. Ἐχανόωντ'.] Κατέχουσ'.
163. Εἶσον.] Κάθισον.
164. Ἐπικρῆσαι.] Ἐπὶ τῷ ὅτι ἕτερον ἐπικεράσαι.
165. Ἱκέτῃσιν.] Ἱκέταις. Ὀπηδεῖ.] Ἀκολουθεῖ.
166. Ταμίη.] Ταμιοῦχος, φύλαξ.
168. Ποικιλομήτην.] Συνεχῶς βεβουλευμένον.
169. Ὧρσεν.] Ἀνέστησεν. Ἀπ' ἐσχαρόφιν.] Ἀπὸ τῆς ἐσχάρας.
170. Ἀγαπήνορα.] Ὑπὸ ἀνδρῶν ἠγαπημένον· ἢ φιλάνδρωπον· ἢ τὸν ἀγαπῶντα ἀνδρείαν.

Ν Ο Τ Æ.

158. Ὅς σφιν) Vid. ad β'. v. 160. & ad θ'. v. 271.

Vᴀʀɪæ Lᴇcᴛɪoɴᴇs.

158. Ὅς σφιν) χρ. ὅ σφιν, vid. in *Textum*.
169. Ἐσχαρόφιν) γρ. ἐσχαρόθεν.

Ποντόνοε,

Ποντόνοε, κρητῆρα κεραστάμεν & μέθυ νείμαι
Πᾶσιν ἀνὰ μέγαρον, ἵνα καὶ Διὶ τερπικεραύνῳ
Σπείσωμεν, ὅστ' ἰκέτῃσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.
Ὣς φάτο· Ποντόνοος δὲ μελίφρονα οἶνον ἐκίρνα·
Νώμησεν δ' ἄρα πᾶσιν ἐπαρξάμενος δεπάεσσιν.
Αὐτὰρ ἐπεὶ σπείσαν τ', ἔπιόν θ', ὅσον ἤθελε θυμός,
Τοῖσιν δ' Ἀλκίνοος ἀγορήσατο καὶ μετέειπε,
Κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
Ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
Νῦν μὲν δαισάμενοι κατακείετε οἴκαδ' ἰόντες·
Ἠῶθεν δὲ γέροντας ἐπὶ πλέονας καλέσαντες,
Ξεῖνον ἐνὶ μεγάροις ξεινίσσομεν, ἠδὲ θεοῖσι
Ῥέξωμεν ἱερὰ καλά· ἔπειτα δὲ καὶ περὶ πομπῆς
Μησόμεθ', ὥστε ὁ ξεῖνος ἄνευθε πόνου καὶ ἀνίης
Πομπῇ ὕφ' ἡμετέρῃ ἣν πατρίδα γαῖαν ἵκηται,
Χαίρων καρπαλίμως· εἰ καὶ μάλα τηλόθεν ἐστί·
Μηδέ τι μεσσηγύς γε κακὸν καὶ πῆμα πάθῃσι,
Πείν γε τὸ τῆς γαίης ἐπιβήμεναι· ἐνθάδ' ἔπειτα
Πείσεται, ἅσσα οἱ αἶσα, κατακλῶθές τε βαρεῖαι,
Γεννομένῳ νήσαντο λίνῳ, ὅτε μιν τέκε μήτηρ.
Εἰ δέ τις ἀθανάτων γε καὶ οὐρανοῦ εἰλήλουθεν,
Ἄλλο τι δὴ τόδ' ἔπειτα θεοὶ τελέουσιν ὀπωπῇ·
Αἰεὶ γὰρ τοπάρος γε θεοὶ φαίνονται ἐναργεῖς
Ἡμῖν, εὖθ' ἑρδώμεν ἀγακλειτὰς ἑκατόμβας·

" Pontonoë, craterem miscens vinum distribue
" Omnibus per domum; ut & Jovi fulminatori
" Libemus, qui supplices honoratos benignè prosequitur.
Sic ait: Pontonous autem dulce vinum miscebat:
Distribuitque omnibus propinans poculis.
Cæterùm postquâ libârunt biberuntque, quantùm cupiebat animus,
His Alcinous concionatus est & interfatus,
" Audite, Phæacum duces atque consiliarii,
" Ut dicam, quæ me animus in præcordiis jubet:
" Nunc quidem epulati dormiatis ad domum profecti:
" Manè vero senibus pluribus advocatis
" Hospitem in ædibus hospitio excipiemus, atque diis
" Faciemus sacra justa: deinde etiam de reditu
" Cogitabimus, ut hic hospes absque labore & tristitiâ
" Deductione sub nostrâ suam in patriam terram adveniat,
" Gaudens actutum; etiam si valdè procul sit:
" Neque quicquam interea mali & damni patiatur,
" Antequam ipse suam terram conscendat: ibi demum
" Patietur, quæcunque ei Fatum, Parcæque graves,
" Jam nato nerunt filo, quando ipsum peperit mater.
" Quòd si quis immortalium utique de cœlo venerit,
" Aliud quippiam hoc deinceps dii meditantur.
" Semper enim etiam antea dii apparent manifesti
" Nobis, quando facimus inclytas Hecatombas:

Σχολια.

179. Νείμαι.] Μίσγειν. Ἀφ' ἑστίας.
181. Αἰδοίοισιν.] Αἰδοῦς ἀξίοις, τιμίοις.
183. Νώμησεν.] Διέδωκεν, ἐμέρισεν. Ἐπαρξάμενος.] Τῷ καταρχὴν τῆ πόσεως ποιησάμενος.
188. Δαισάμενοι.] Εὐωχηθέντες. Κατακείετε.] Κοιμᾶσθε, καθεύδητε, κατενεμήθητε. Ἰόντες.] Ἀπελθόντες.
192. Ἀνίης.] Λύπης, ἀνίας.
195. Μεσσηγύς.] Μεταξύ.
197. Αἶσα.] Μοῖρα, εἱμαρμένη. Κατακλῶθές τε βαρεῖαι.] Αἱ κατακλώθουσαι, καὶ καταμερίζουσαι ἑκάστῳ τὸ εἱμαρμένον. Βαρεῖαι.] * Κακοπτοιοῖ. Ἄλλως. Κατακλῶθες.] Ἐπικλώσεις τῆ μοιρῶν.
198. Γεννομένῳ.] Τικτομένῳ. Νήσαντο.] Ἐπένησαν, * ἐπεμοίρησαν.
201. Ἐναργεῖς.] Φανεροί.
202. Ἑρδώμεν.] Θύωμεν.

Notæ in Scholia.

188. Κατακείετε) Vid. ad α'. v. 372.
197. * Κακοπτοιοί) οἰκοθεν addo, quoniam τὸ βαρεῖαι hactenus esset ἀνακρεμάμενον. Quæ sequuntur, ex MSto.

Variæ Lectiones.

188. Δαισάμενοι) γρ. δαιτύμενοι. *H. Steph.*
197. Αἶσα, κατακλῶθές τε βαρεῖαι) γρ. αἶσα, κατὰ κλῶθές τε βαρεῖαι, & αἶσα κατακλώθουσι βαρεῖα, *Eustath.* fol. 1576. lin. 49. & lin. 39. & *Hesych.* & *H. Steph.* nec tamen ideò melius; ut ex ipsâ voce ἐπήνησαν abundè patet.

Δαί-

Δαίνυνθαί τε παρ' ἄμμι καθήμενοι, ἔνθα πὲρ ἡμεῖς.
Εἰ δ' ἄρα τὶς ᾗ μᾶσ' ἰὼν ξύμβλῃ ὁδίτης,
Οὔπ κατακρύπτουσιν· ἐπεί σφισιν ἐγγύθεν εἰμέν,
Ὥσπερ Κύκλωπές τε, ᾗ ἄγρια φῦλα Γιγάντων.
Τόνδ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Ἀλκίνοε, ἄλλο τί τοι μελέτω φρεσίν· οὐ γὰρ ἔγωγε
Ἀθανάτοισιν ἔοικα, τοὶ εὐρὺν οὐρανὸν ἔχουσιν,
Οὐ δέμας, οὐδὲ φυΐν, ἀλλὰ θνητοῖσι βροτοῖσιν,
Οὕς τινας ὑμεῖς ἴστε μάλιστ' ὀχέοντας ὀίζυν
Ἀνθρώπων· τοῖσίν κεν ἐν ἄλγεσιν ἰσωσαίμην.
Καὶ δ' ἔτι κεν ᾗ πλέον' ἐγὼ κακὰ μυθησαίμην,
Ὅσσα γε δὴ ξύμπαντα θεῶν ἰότητι μόγησα.
Ἀλλ' ἐμὲ μὲν δορπῆσαι ἐάσατε, κηδόμενόν περ·
Οὐ γάρ τι συγερῇ ἐπὶ γαστέρι κύντερον ἄλλο
Ἔπλετο, ἥτ' ἐκέλευσεν ἑοῦ μνήσασθαι ἀνάγκῃ,
Καὶ μάλα τειρόμενον, ᾗ ἐνὶ φρεσὶ πένθος ἔχοντα.
Ὡς ᾗ ἐγὼ πένθος μὲν ἔχω φρεσίν· ἡ δ' ἐμὲ μάλ' αἰεὶ
Ἐσθέμεναι κέλεται ᾗ πινέμεν· ἐκ δέ με πάντων
Λήθῃσι, ὅσσ' ἔπαθον, ᾗ ἐπιπλήσασθαι ἀνώγει.
Ὑμεῖς δ' ὀτρύνεσθε ἅμ' ἠοῖ φαινομένῃφιν,
Ὡς κέ με τ' δύστηνον ἐμῆς ἐπιβήσετε πάτρης,

" Convivantúrque apud nos sedentes, ubi & nos.
" Si autem aliquis & solus iens occurrerit viator,
" Nullo modo occultant; quoniam ipsos propè sumus,
" Quemadmodum Cyclopesque, & agrestes gentes Gigantum.
Hunc respondens alloquutus est prudens Ulysses,
" Alcinoë, aliud quid tibi curæ sit mentibus; non enim ego
" Immortalibus similis sum, qui cœlum latum habitant,
" Neque corpore, neque indole; sed mortalibus hominibus,
" Quos vos scitis maximè devehentes ærumnam
" Hominum; hisce utique in doloribus æquiparari debeo.
" Et adhuc etiam plura ego mala dicerem,
" Quæ sanè omnia deorum voluntate passus sum.
" Verùm me quidem cœnare permittite, licet afflictum:
" Non enim odioso ventre importunius aliud
" Est: qui jubet sui recordari necessitate;
" Et valdè afflictum aliquem, & in mentibus dolorem habentem.
" Sic & ego luctum quidem habeo mentibus; hic tamen valdè semper
" Comedere jubet, & bibere, & me omnium
" Oblivisci facit, quæcunque passus sum, & repleri jubet;
" Vos autem festinate, simul atque aurora apparuerit,
" Ut me infelicem meam inducatis in patriam,

Σ Χ Ο Λ Ι Α.

203. Δαίνυνται.] Εὐωχῶνται.
204. Ξύμβλῃ.] Συντύχῃ. Ὁδίτης.] Ὁδοιπόρος.
205. Εἰμέν.] Ἐσμέν.
206. Ὥσπερ Κύκλωπές τε καὶ ἄγρια φῦλα Γιγάντων.] Ὡς εἰσὶν ἀλλήλων ἐγγὺς Κύκλωπές τε καὶ Γίγαντες· ἤτοι καθὰ γένος, ἢ καθὰ τόπον, ἢ καθὰ ἀδικίαν. ὅπως ἡμεῖς ἡμῖν πλησίον, καθὰ δικαιοσύνην.
209. Ἔοικα.] Ὁμοιοῦμαι εἰμί.
211. Ὀχέοντας.] Ὑποφέροντας, ἢ ἔχοντας καὶ βαστάζοντας.
214. Ἰότητι.] Βουλῇσι.
215. Δορπῆσαι.] Δειπνῆσαι.
216. Κύντερον.] Ἀναιδέστερον, χαλεπώτερον.
217. Ἑοῦ.] Ἑαυτῆς. Μνήσασθαι.] Μνημονεῦσαι.
221. Λήθῃσι.] Ἐπιλαθέσθαι ποιεῖ. Ἐπιπλήσασθαι.] Πληρῶσαι. Ἀνώγει.] Κελεύει.
222. Ὀτρύνεσθε.] Ἐπείγεσθε.
223. Δύστηνον.] Δυσυχῆ. * Ἐπιβήσετε.] Ἐπιβῆναι πείσητε.

N O T Æ.

215. Ἀλλ' ἐμὲ μὲν δορπῆσαι ἐάσατε) Ex hoc loco, & alio, ζ'. v. 249. Ἤτοι ὁ πῖνε καὶ ἤδυε πολύτλας δῖος Ὀδυσσεὺς, Ἁρπαλέως, *Criticorum* nonnulli *Ulyssem* faciunt helluonem, & ἀδηφαγίας, ἢ πολυφαγίας reum agunt, ut videre est apud *Athenæum*, l. x. c. 1. fol. 412. Nec boni illi Viri satis perpenderunt, quòd in his locis *Ulysses* diutino jejunio nimis oppidò maceratus inducitur, quibus tamen perpessitius ille Princeps, sui semper memor, ut & ὁ πεῖσιτος Poeta, illam Rapacitatem suam aliquo modo semper excusare conatur, quod & ipsæ ejusdem circumstantiæ palàm omnibus faciebant.

N O T Æ I N S C H O L I A.

214. Βουλῇσι.] rectè omnes *Impressi*, MS. *Aloysii* βουλῇ, malè: quòd obitèr noto, quandoquidem hujus MSti, ut & aliorum, non pauca *Errata*, quæ accuratiùs in *Impressis* reformari video, sicco pede transire soleo; nè frustrà, illius auctoritatem in aliis labefaciam.
223. * Ἐπιβήσετε.) Olim ἐπιβέσθαι malè in *Impressis*: emendo itaque ex *Aloysii* MS.

Καί

Καί τῷ πολλὰ παθόντε· ἰδύντα μὲ γ' λίποι αἰών.
Κτῆσιν ἐμὴν, δμῳάς τε, γ' ὑψερεφὲς μέγα δῶμα.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπήνεον, ἠδ' ἐκέλευον
Πεμπέμεναι τ' ξεῖνον, ἐπεὶ καλὰ μοῖραν ἔειπεν.
Αὐτὰρ ἐπεὶ σπεῖσάν τ', ἔπιόν θ', ὅσον ἤθελε θυμὸς,
Οἱ μὲν κακκείοντες ἔβαν οἰκόνδε ἕκαστος·
Αὐτὰρ ὁ ἐν μεγάρῳ ὑπελείπετο δῖος Ὀδυσσεὺς,
Παρ δέ οἱ Ἀρήτη τε, γ' Ἀλκίνοος θεοειδὴς,
Ἧστην· ἀμφίπολοι δ' ἀπεκόσμεον ἔντεα δαιτός.
Τοῖσιν δ' Ἀρήτη λευκώλενος ἦρχε μύθων,
Ἔγνω γὰρ φᾶρός τε, χιτῶνά τε, εἵματ' ἰδοῦσα,
Καλὰ, τά ῥ' αὐτὴ τεῦξε, σὺν ἀμφιπόλοισι γυναιξί·
Καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα,
Ξεῖνε, τὸ μέν σε πρῶτον ἐγὼν εἰρήσομαι αὐτὴ,
Τίς; πόθεν εἰς ἀνδρῶν; τίς τοι τάδε εἵματ' ἔδωκεν;
Οὐ δὴ φὴς ἐπὶ πόντον ἀλώμενος ἐνθάδ' ἱκέσθαι;
Τὼδ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεὺς,
Ἀργαλέον, βασίλεια, διηνεκέως ἀγορεῦσαι
Κήδε', ἐπεί μοι πολλὰ δόσαν θεοὶ οὐρανίωνες.
Τῶτο δέ τοι ἐρέω, ὅ μ' ἀνείρεαι, ἠδὲ μεταλλᾷς·
Ὠγυγίη τις νῆσος ἀπόπροθεν εἰν ἁλὶ κεῖται,
Ἔνθα μὲν Ἄτλαντος θυγάτηρ, δολόεσσα Καλυψὼ,
Ναίει ἐϋπλόκαμος, δεινὴ θεός· οὐδέ τις αὐτῇ
Μίσγεται, οὔτε θεῶν, οὔτε θνητὸς ἀνθρώπων.
Ἀλλ' ἐμὲ τὸν δύστηνον ἐφέστιον ἦγαγε δαίμων
Οἶον, ἐπεί μοι νῆα θοὴν ἀργῆτι κεραυνῷ
Ζεὺς ἐλάσας ἔκεασε, μέσῳ ἐνὶ οἴνοπι πόντῳ,
Ἔνθ' ἄλλοι μὲν πάντες ἀπέφθιθον ἑταῖροι

" Quamvis multa passûm: ubi semel videro, etiam relinquat vita
" *Nempe* possessionem meam, famulosque, & altam magnam domum.
Sic dixit: hi autem omnes approbabant & hortabantur
Deducere hospitem, quoniam decenter dixit.
Sed postquam libaverunt; biberantque, quantum voluit animus;
Hi quidem dormituri iverunt domum unusquisque;
Sed in domo relictus est divus Ulysses,
Et apud ipsum Aretéque, & Alcinous divina specie præditus,
Sederunt; famulæ autem auferebant vasa convivii.
His itaque Arete albis-ulnis incepit verba,
Agnovit enim pallium & tunicam, vestimenta videns,
Pulchra, quæ ipsa fecerat, cum ancillis mulieribus;
Et ipsum alloquens verba pennata dixit,
" Hospes, hoc quidem te primùm interrogabo ipsa,
" Quis? unde venis virorum? quis tibi hæc vestimenta dedit?
" An non dicis, in mari errans huc venisse?
Hanc respondens alloquutus est prudens Ulysses,
" Difficile, Regina, perpetuò *sermone* commemorare
" Dolores, quoniam mihi multos dederunt dii cœlestes.
" Hoc autem tibi dicam, quod me interrogas & inquiris,
" Ogygia quædam insula longè in mari jacet,
" Ubi Atlantis filia, dolosa Calypso,
" Habitat pulchricoma, gravis dea: neque aliquis cum ipsâ
" Versatur, neque deorum, neque mortalium hominum.
" Sed me infelicem domesticum duxit Genius *aliquis*
" Solum; quoniam mihi navem velocem candenti fulmine
" Jupiter jaculatus discidit, medio in nigro mari,
" Ubi alii quidem omnes periêre boni socii:

Σ Χ Ο Λ Ι Α.

224. Αἰών.] Ὁ βίος.
229. Κακκείοντες.] Καθεκτιμηθησόμενοι.
232. Ἧστην.] Ἐκαθίζοντο. Ἀπεκόσμεον.] Ἀφήρουν. Ἔντεα δαιτός.] Τὰ ὄπλα τὰ εὐωχίας, οἷον τραπέζας, καὶ τὰ τοιαῦτα.
234. Ἔγνω.] Ἐπέγνω.
235. Τά ῥα] Ἃ δή.
237. Εἰρήσομαι.] Ἐρωτήσω.
241. Διηνεκέως.] Νῦν, παχέως· ἢ, τὸ σύμπαν.
244. Ὠγυγίη.] Ἡ Καλυψὼ νῆσος.
245. Δολόεσσα Καλυψώ.] Δόλιος μηχανᾶται δυναμένη.
248. Ἐφέστιον.] Ἐπὶ τῷ οἰκείᾳ αὐτῆς ἐπιχειρησάμενον.
250. Ἐλάσας.] Συνελάσας. Ἔκεασε.] Διέχισε.
251. Ἀπέφθιθον.] Διεφθείροντο.

N O T Æ.

224. Ἰδύντα μὲ γ' λίποι αἰών) Ita *Jacob.* optat mori, viso jam filio *Josepho*, Gen. c. 47. v. 30. Ità *Simeon*, viso Redemptore, *Nunc Dimittis* cecinit. Et *Æschyl.* Agamemn. Χαίρω· πύθοιτο δ' οὖν ἴτ' αὐτίχ' ἡ τεκοῦσα.

VARIÆ LECTIONES.

250. Ἐλάσας) γρ. ἴλασας, *Eustath.* & *H. Steph.*

Αὐταὶ ἐγὼ, πρόπιν ἀγκὰς ἐλὼν νηὸς ἀμφιελίσσης,
Ἐννῆμαρ φερόμην· δεκάτῃ δέ με νυκτὶ μελαίνῃ
Νῆσον ἐς Ὠγυγίην πέλασαν θεοὶ, ἔνθα Καλυψὼ
Ναίῃ ἐϋπλόκαμος, δεινὴ θεός· ἣ με λαβοῦσα,
Ἐνδυκέως ἐφίλῃ τε, καὶ ἔτρεφεν, ἠδὲ ἔφασκε,
Θήσειν ἀθάνατον, καὶ ἀγήραον ἤματα πάντα·
Ἀλλ' ἐμὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν.
Ἔνθα μὲν ἑπτάετες μύον ἔμπεδον, εἵματα δ' αἰεὶ
Δάκρυσι δευέσκον, τά μοι ἄμβροτα δῶκε Καλυψώ·
Ἀλλ' ὅτε δὴ ὄγδοόν μοι ἐπιπλόμενον ἔτος ἦλθε,
Καὶ τότε δή με κέλευσεν ἐποτρύνουσα νέεσθαι,
Ζηνὸς ὑπ' ἀγγελίης, ἢ καὶ νόος ἐτράπεθ' αὐτῆς.
Πέμπε δ' ἐπὶ σχεδίης πολυδέσμου· πολλὰ δ' ἔδωκε,
Σῖτον καὶ μέθυ ἡδύ· καὶ ἄμβροτα εἵματα ἕσσεν·
Οὖρον δ' ἤροεικεν ἀπήμονά τε, λιαρόν τε.
* Ἑπταδεκαίδεκα μὲν πλέον ἤματα πontοπορεύων,
Ὀκτωκαιδεκάτῃ δ' ἐφάνη ὄρεα σκιόεντα
Γαίης ὑμετέρης· γήθησε δέ μοι φίλον ἦτορ,
Δυσμόρῳ ἦ γὰρ ἔμελλον ἔτι ξυνέσεσθαι οἰζύι
Πολλῇ, τλύ μοι ἐπῶρσε Ποσειδάων ἐνοσίχθων.

" At ego, vel carinam ulnis capiens navis utrinque remi-agitatæ,
" Novem diebus ferebar: decimâ autem me nocte nigrâ
" Insulam ad Ogygiam appulerunt dii; ubi Calypso
" Habitabat pulchricoma, gravis dea;
quæ me suscipiens
" Accuratè excepit, & alebat, & dicebat,
" Faciuram immortalem, & senii-nescium diebus omnibus:
" Sed meum unquam animum in pectoribus flexit.
" Illic quidem septem annos permansi
firmiter, vestimenta autem semper
" Lachrymis madefacta iebam, quæ mihi pulcherrima dedit Calypso:
Οἳδ' αἶψ' εἰσβαινον, ἑδρηθὸν δὲ κλησὶν κάθιζον.
Ἑξῆς δ' ἐζόμενοι πολιὸν ἅλα τύπτον ἐρετμοῖς.
Ἀλλ' ὅτε τόσσον ἀπῆν, ὅσσον τε γέγωνε βοήσας,
Καὶ τότ' ἐγὼ Κύκλωπα προσηύδων κερτομίοισι,
Κύκλωψ, οὐκ ἄρ' ἔμελλες ἀνάλκιδος ἀνδρὸς ἑταίρους
Ἔδμεναι ἐν σπῆϊ γλαφυρῷ κρατερῇφι βίηφι.
Καὶ λίην σέ γε μέλλε κιχήσεσθαι κακὰ ἔργα,
Σχέτλι'· ἐπεὶ ξείνους οὐκ ἄζεο σῷ ἐνὶ οἴκῳ
Ἐσθέμεναι· τῷ σε Ζεὺς πατὴρ ἠδὲ θεοὶ ἄλλοι.
Ὣς ἐφάμην· ὁ δ' ἔπειτα χολώσατο κηρόθι μᾶλλον·
Ἦκε δ' ἀποῤῥήξας κορυφὴν ὄρεος μεγάλοιο·
Κὰδ δ' ἔβαλε προπάροιθε νεὸς κυανοπρῴροιο·
Τυτθὸν ἐδεύησεν δ' οἰήϊον ἄκρον ἱκέσθαι·
Ἐκλύσθη δ' ἁλὸς κατερχομένης ὑπὸ πέτρης·
Τὼ δ' αἶψ' ἤπειρόνδε παλιῤῥόθιον φέρε κῦμα,
Πλημμυρὶς ἐκ πόντοιο, θέμωσε δ' ἐς χέρσον ἱκέσθαι.
Αὐτὰρ ἐγὼ χείρεσσι λαβὼν προμήκεα κοντὸν

" Multa circumducentes egimus; donec ad navem
" Pervenimus; desiderati verò charis sociis visi sumus,
" Qui effugimus mortem; alios autem ingemiscebant flentes.
" Sed ego non sinebam, supercilliis enim innuebam singulis,
" Lugere; sed jussi celeriter villosa pecora
" Multa in navem recipientes renavigare salsam aquam.
" Illi statim conscenderunt & per transtra sederunt,
" Ordineque sedentes cavum mare verberabant remis.
" Sed quando tantum aberam, quantum utiq; audiri potest exclamans,
" Et tunc ego Cyclopem alloquebar convitiis,
" Cyclops, non parabas imbellis viri socios
" Mandere in spelunca cavâ, fortivi;
" Et sanè te deprehensura erant *tua* mala facta;
" Immitis! quoniam hospites non verebaris tuâ in domo
" *Absumere*, ideoque te Jupiter ultus est & alii dii.
" Sic dicebam; ille autem continuò irascebatur ex corde *magis*:
" Misit autem abrumpens verticem montis magni;
" Dejecitque ante navem nigram-proram-habentem.
" Paululum verò abfuit gubernaculum extremum nanciscì;
" Inundavit enim mare subsidente à petrâ.
" Et hanc (*i.e. navim*) statim ad littus restuus ferebat fluctus,
" Inundatio ex mari, appropinquavitque ut littus attingeret.
" Cæterùm ego manibus apprehendens ingentem contum

Σ Χ Ο Λ Ι Α.

465. Περιτροπέοντες.] Περιτρεπόμενοι, συστελλόμενοι.
466. Ἀσπάσιοι.] Ἐπιθυμητοί.
467. Σπιδάχοντο.] Ἐστέναζον. Γοῶντες.] Θρηνοῦντες.
476. Κερτομίοισι βίηφι.] Τῇ ἰσχυρᾷ δυνάμει· τὸ πολύ.
478. Ἄζεο.] Ἐντρέπου.
479. Τίσατο.] Ἐπιμωρήσατο.
480. Χολώσατο.] Ὠργίσθη. Κηρόθι.] Ἐκ ψυχῆς.
482. Κυανοπρῴροιο.] Μελανοπρῴρου.
483. Ἐδεύησεν.] Ἐδέησεν, ἐνέλιπεν. Οἰήϊον.] Πηδάλιον, παρὰ τὸ οἰακίζειν, ὅ ἐστι καθυθύνειν.
485. Ἤπειρόνδε.] Εἰς τὴν γῆν. Παλιῤῥόθιον.] Τὸ εἰς τοὔπίσω φερόμενον κῦμα. Ἐκλύσθη.] Ἐκλυδωνίσθη.
486. Πλημμυρίς.] Πλημμύρα, ἡ τῶν ἁλῶν ἐπανάστασις· ἢ κλύδωνος φορά, ἢ ἀνάχυσις. Θέμωσε δὲ χέρσον ἱκέσθαι.] Ἐγγίσαι ἐποίησε τῇ γῇ. Χέρσον.] Γῆν.

N O T Æ.

lin. 6. & fol. 427. lin. 38. Ità legit *Aloysii* MS. quam *Lectionem Hesychius* agnoscit, *Etymolog.* M. & Lexica non pauca; & Hymn. *Mercurii*, v. 232. *Seberus* πανύσσοδε legit, etiam *Dinnerus* & alii. Aliàs dicerem*us*, *Antepenultimam* necessariò produci ob πολυβροχίαν, & vi *Toni*, etiam *Acuto* adjuvante. Vid. ad *Iliad.* Γ'. v. 113.

481. Ἦκε δ' ἀποῤῥήξας κορυφὴν ὄρεος μεγάλοιο] *Virgil.* Æn. l. 10. v. 127. *Fert ingens toto connixus corpore saxum, Haud partem exiguam Montis.* Vid. *Seneca* Controvers. Suasor. l. 1. p. 8.

482. Προπάροιθε) Puto hic μετόπισθε legi debere, mox, v. 539. προπάροιθε, nempè *viceversâ*. Rationes viderint Docti in rebus *Nauticis*.

Variæ Lectiones.

477. Σέ γε μέλλε) γρ. σέ γ' ἔμελλε.
480. Ἔπειτα χολώσατο) γρ. ἔπειθ' ἐχολώσατο.

Ὥστε

Ὦσα παρέξ· ἑτάροισι δ' ἐποτρύνας, ἐκέλευσα
Ἐμβαλέειν κώπῃς, ἵν' ὑπ' ἐκ κακότητα φύγοιμεν,
Κρατὶ καζανύων· οἱ δ', ἀμφιπεσόντες ἔρεσσον.
Ἀλλ' ὅτε δὴ δὶς τόσσον ἄλα πρήσαντες ἀπῆμεν,
Καὶ τότ' ἐγὼ Κύκλωπα προσηύδων· ἀμφὶ δ' ἑταῖροι
Μειλιχίοις ἐπέεσσιν ἐρήτυον ἄλλοθεν ἄλλος,
Σχέτλιε, τίπτ' ἐθέλεις ἐρεθιζέμεν ἄγριον ἄνδρα;
Ὅς ῥ' ἠΰν πόντονδε βαλὼν βέλος, ἤγαγε νῆα
Αὖτις ἐς ἤπειρον, καὶ δὴ φάμεν αὐτόθ' ὀλέσθαι.
Εἰ δέ κ' ὀθεγξαμένου τευ, ἢ αὐδήσαντος ἄκουσε,
Σύν κεν ἄρηξ' ἡμέων κεφαλὰς, καὶ νήια δοῦρα,
Μαρμάρῳ ὀχριόεντι βαλών· τόσσον γὰρ ἵησιν.
Ὣς φάσαν· ἀλλ' οὐ πεῖθον ἐμὸν μεγαλήτορα θυμὸν,
Ἀλλά μιν ἄψορρον προσέφην κεκοτηότι θυμῷ,
Κύκλωψ, αἴκέ τίς σε καταθνητῶν ἀνθρώπων
Ὀφθαλμῶν εἴρηται ἀεικελίην ἀλαωσὶν,
Φάσθαι, Ὀδυσσῆα πτολιπόρθιον ἐξαλαῶσαι,

" Detrusi ab littore, sociosque excitans, imperavi
" Incumbere remis; ut malum fugeremus,
" Capite annuens: hi igitur incumbentes remigabant.
" Sed quando bis tantum mare sulcantes recessimus,
" Et tum ego Cyclopem alloquebar, circum verò socii
" Blandis verbis inhibebant aliàs alius,
" Infelix, cur vis irritare agrestem virum?
" Qui etiam nunc in pontum jacto telo deduxit navem
" Rursus ad continentem, & certè existimabamus illic perituros.
" siquidem loquentem aliquem, aut vociferantem audieris,
" Collidere poterit nostra capita, & navalia ligna,
" Saxo aspero jaciens; tantum enim jaculatur.
" Sic dicebant; sed non flexerunt meum generosum animum,
" Sed ipsum rursus alloquutus sum elato animo,
" Cyclops, si quis te inter mortales homines
" Oculi interrogaverit indecentem cæcitatem,
" Dic, Ulyssem urbium eversorem evulsisse,

Σ Χ Ο Λ Ι Α.

488. Ὦσα παρέξ.] Ἀπίωσα εἰς τὸ ἑκατής.

490. Περησίοντες.] Σφοδρῶς ἐπιπεσόντες καὶ ἐγκελευόμενοι. Ἔρεσσον.] Ἐκωπηλάτουν.

491. Ἀλλ' ὅτε δὴ τόσσον.] Πῶς ἂν αἰκύῃ, φησὶν ἐρέσσειν δύνασθαι, Ἀλλ' ὅτι τόσον ἀπῆν, ἔσσον τὸ γίγνεσθαι βοήσιμον. ἤτοι μεγαλόφωνος ὁ Ὀδυσσεὺς, ἢ διὰ τὸ πολὺ μέρος ἀσύχους εἶναι τοὺς ἐν τῇ νηῒ ἠνίχθη. Πρήσσοντες.] Διακρῶντες. Ἀπῆμεν.] Ἀφειστήκειμεν.

495. Βέλος.] Βλῆμα· νῦν δὲ τὸ βληθὲν λίθου λέγει.

498. Σύν κεν ἄρηξ'.] Σωτηρίαν. Νήϊα δοῦρα.] Τὰς ναῦς.

499. Ἴησιν.] Ἀκοντίζει. Ὀκριόεντι.] Τραχεῖ.

501. *Ἄψορρον.] Πάλιν. Κεκοτηότι.] Ὀργισθέντι.

503. Εἴρηται.] Ἐρωτᾶται. Ἀεικελίην.] Δεινὴν. Ἀλαωτὸν.] Τύφλωσιν, στέρησιν ὀφθαλμῶν.

504. Φάσθαι.] Λέγειν, ἀντὶ δὲ λέγω. Ἐξαλαῶσαι.] Ἀντὶ δὲ ἐκτυφλῶσαι. * Κεῖται ἀπερίμφατον, ἀντὶ δὲ περισπωμένου.

N O T Æ.

490. Κρατὶ καζανύων) Nonnulli duplicandum ν', censent; hi καζανύων, illi καζὲ νεύων, quin & κάτω νεύων legi potest; quovis modo, *Versui* satis consultum. Τὸ α'. enim bene produci potest, ante *Liquidam*, ut suprà, v. 245. Idem dicendum infrà, ad κ'. v. 169. Βῆ δ' καζλοφάδεια φέρων, &c.

497. Ἄκουσε) De *Casu* loquitur, quem dudum evaserant, quùm ex violentâ Resilitione fluctuum sub ora *Polyphemi* reducta esset Navicula; potest etiam αἰκύσῃ legi, ut intelligatur de *Statu* præsenti.

498. Σύν κεν ἄρηξ') Ità *Delphicum* Oraculum apud *Herodot.* Ἰσθμὸν δὲ μὴ πορεύεσθαι, μηδ' ἀρήγειν· Ζεὺς γάρ κ' ἔφησε πάντα ἑὸν ἐπάγειν.

502. Καζαθνητῶν ἀνθρώπων) Ita unicâ voce pro καζὲ θνητῶν, lego; ita legit *Isaac. Casaubon.*

504. Φάσθαι) *Eustath.* fol. 371. lin. 34. Disputat, utrum φάσθαι, παροξυτόνως, an περισπωμένως scribendum; illud κοινὸν, hoc ab Insigni Critico factum ait. lin. 38. Ὁ δὲ βαθὺς Ἡρακλείδης φαίνεται θέλων, φύσει τὸ μακρὸν εἶναι τῷ παραλήγοντι τοῦ φάσθαι, ἐ

N O T Æ I N S C H O L I A.

501. *
504. * Quæ *Asteriscis* notantur, ex *Aloysii* MSto omnia.
511. *

Variæ Lectiones.

490. Καζανεύων) κρ. καζὲ νεύων, & καζανεύων.

497. Ἄκουσε) κρ. ἀκούσῃ, vid. Not. in *Textum*.

502. Καζαθνητῶν) γρ. καζὲ θνητῶν, *Eustath.* fol. 372. lin. 33. Τὸ δὲ καζαθνητῶν, περιττὴν σύνταξιν ἔχει τῷ περόντων. Quare ille ut unicam vocem legebat, quomodo nunc scribo. Vid. Not. in *Textum*.

504. Φάσθαι) γρ. φᾶσθαι. *Ibid.* Πτολιπόρθιον) κρ. πτολίπορθον, vid. N. in *Textum*, de utraque *Lectione*.

Υἱὸν

505 Υἱὸν Λαέρτεω, Ἰθάκῃ ἔνι οἰκί' ἔχοντα.
Ὣς ἐφάμην· ὁ δέ μ' οἰμώξας ἠμείβετο μύθῳ,
Ὦ πόποι, ἦ μάλα δή με παλαίφατα θέσφαθ' ἱκάνει.
Ἔσκε τις οἰωνιστὴς ἀνὴρ ἠΰς τε μέγας τε,
Τήλεμος Εὐρυμίδης, ὃς μαντοσύνῃ ἐνέκαρσε,
510 Καὶ μαντεύόμενος κατεγήρα Κυκλώπεσσιν·
Ὅς μοι ἔφη τάδε πάντα τελευτήσεσθαι ὀπίσσω,
Χειρῶν ἐξ Ὀδυσῆος ἀμαρτήσεσθαι ὀπωπῆς.
Ἀλλ' αἰεί τινα φῶτα μέγαν καὶ καλὸν ἐδέγμην
Ἐνθάδ' ἐλεύσεσθαι, μεγάλῳ ὀπιπεύοντα ἀλκῇ·
515 Νῦν δέ μ', ἐὸν ὀλίγος τε, καὶ ἠπιδανὸς, καὶ ἄκικυς,
Ὀφθαλμῷ ἀλάωσεν, ἐπεί μ' ἐδαμάσσατο οἴνῳ.
Ἀλλ' ἄγε δεῦρ' Ὀδυσεῦ, ἵνα τοι πὰρ ξείνια θείω,
Πομπήν τ' ὀτρύνω δόμεναι κλυτὸν Ἐννοσίγαιον·
Τῷ γὰρ ἐγὼ παῖς εἰμί, πατὴρ δ' ἐμὸς εὔχεται εἶναι·
520 Αὐτὸς δ', αἴκ' ἐθέλησι, * ἰήσεται, οὐδέ τις ἄλλος,
Οὔτε θεῶν μακάρων, οὔτε θνητῶν ἀνθρώπων.
Ὣς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον,
Αἲ γὰρ δὴ ψυχῆς τε καὶ αἰῶνός σε δυναίμην
Εὖνιν ποιήσας πέμψαι δόμον Ἄϊδος εἴσω·
525 Ὣς οὐκ ὀφθαλμόν γ' ἰήσεται οὐδ' Ἐνοσίχθων.
Ὣς ἐφάμην· ὁ δ' ἔπειτα Ποσειδάωνι ἄνακτι

" Filium Laërtis in Ithacâ domum habentem.
" Sic dicebam; ille mihi ejulans respondebat sermone,
" Papæ! Nunc certè me valdè antiqua Oracula attingunt.
" Erat quidam hic vates vir bonusque, magnusque,
" Telemus Eurymedes, qui vaticiniis excellebat,
" Et vaticinans consenuit inter Cyclopas:
" Hic mihi dicebat hæc omnia perfectum iri in posterum,
" Manibus ex Ulyssis privatum iri visu.
" Sed semper quendam virum ingentem & pulchrum existimabam
" Huc venturum esse, magno indutum robore:
" Nunc autem me parvus, & nihili, & imbellis,
" Oculo privavit, postquam domuit me vino.
" Sed age huc veni, Ulysses; ut tibi hospitalia præbeam,
" Deductionemque sollicitem dare inclytum Neptunum:
" Hujus enim ego filius sum, paterque meus gloriatur esse:
" Ipse autem, siquidem voluerit, sanabit, neque quisquam alius,
" Neque deorum immortalium, neque mortalium hominum.
" Sic ait; porrò ego ipsum excipiens alloquebar,
" Utinam sanè animâ & vitâ te potuissem
" Spoliatum mittere intra Plutonis domum:
" Adeò haud oculum utique sanabit neque Neptunus.
" Sic dicebam, ille continuo regi Neptuno

ΣΧΟΛΙΑ.

507. Παλαίφατα.] Πάλαι πεφασισμένα, ἤτοι εἰρημένα. Θέσφατα.] Μαντεύματα.
509. Εὐρυμίδης.] Εὐρύμου παῖς, Τήλεμος.
511. * Ὅς.] Οὗτος.
512. Ἀμαρτήσεσθαι.] Ἀποτυχεῖν, περιδεῖσαι. Ὀπωπῆς.] Ὄψεως.
513. Ἐδεγμην.] Ἐξεδεχόμην.
514. Ἐπιμένων.] Περιβλεπόμενον.
515. Ἄκικυς.] Ἀσθενής.
516. Ἀλάωσεν.] Ἐσκότωσεν.
518. Ὀτρύνω.] Παρασκευάζω, σπουδάζω. Αἰῶνος.] Βίου, ζωῆς.
524. Εὖνιν.] Ἐξηρημένον.
525. Ὡς οὐκ ὀφθαλμόν γ.] Διὰ τὴν τύφλωσιν, ἀλλ' ἐξ ἧς πᾶς φανὰς πάντας, ὀργισθεὶς ὁ Ποσειδῶν τούτων γὰρ ὁ υἱὸς ὁ Ποσειδῶν ἰάσεται κακὸν ὄντα.

NOTÆ.

σφενδονήσας αὐτῷ. Ibid. Πολυπόρθιον) Cum & hic, & infrà, v. 530. πολυπόρθιον scribatur, certè hic frustra sunt, qui refragante *Versu*, πολύπορθον legant, cum πολυπόρθιον. in hoc Versu habeat *Florentina* & *Aldina* Editt. *Eustathius* πολυπόρθιον legit, fol. 372. lin. 30. & fol. 375. lin. 24. &c. Vid. quæ Nos ad ν. v. 316. & infrà, ad v. 530.

509. Τήλεμος Εὐρυμίδης) De hoc Vate, *Theocritus*, §. 6. v. 23. Αὐτὰρ ὁ μάντις ὁ Τήλεμος. Item *Ovid.* Metamorph. l. 13. §. 8. *Telemus* interea *Siculum* delatus in æquor, *Telemus Eurymides*, quem nulla fefellerat ales, Terribilem *Polyphemon* adit, Lumenque, quod unum Fronte geris mediâ, rapiet tibi, dixit, *Ulysses*.

VARIÆ LECTIONES.

509. Τήλεμος Εὐρυμίδης) γρ. Τήλεμος Εὐρύμαχος, *Theocriti* Scholiast. *Idyll.* 6. v 23. malè.
515. Ἄκικυς) γρ. ἀεικὴς, *H. Steph. Seberi* Index, & *Eustath.* fol. 374. lin. 53.
516. Ἀλάωσεν, ἐπεί μ' ἐδαμάσσατο) γρ. ἀλάωσας, ἐπί μ' ἐδαμάσσαο. Edit. *Basil. H. Steph.*
520. Ἐθέλησι, * ἰήσεται) γρ. ἐθέλῃσι * ἰήσεται, malè olim; cùm prior ἰήσεται sit *longa*. Vid. v. 525.

Εὔχεται,

Εὔχετο, χεῖρ' ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα,
Κλῦθι, Ποσείδαον, γαιήοχε, κυανοχαῖτα·
Εἰ ἐτεόν γε σὸς εἰμὶ, πατὴρ δ' ἐμὸς εὔχεαι εἶναι,
Δὸς μὴ Ὀδυσῆα πολιπόρθιον οἶκαδ' ἱκέσθαι,
Υἱὸν Λαέρτεω, Ἰθάκῃ ἔνι οἰκία ἔχοντα.
Ἀλλ' εἴ οἱ μοῖρ' ἐστὶ φίλους τ' ἰδέειν, καὶ ἱκέσθαι
Οἶκον ἐϋκτίμενον καὶ ἐὴν ἐς πατρίδα γαῖαν,
Ὀψὲ κακῶς ἔλθοι, ὀλέσας ἅπο πάντας ἑταίρους,
Νηὸς ἐπ' ἀλλοτρίης, εὕροι δ' ἐν πήματα οἴκῳ.
Ὣς ἔφατ' εὐχόμενος· τῷ δ' ἔκλυε Κυανοχαίτης.
Αὐτὰρ ὅγ' ἐξαῦτις πολὺ μείζονα λᾶαν ἀείρας,
Ἧκε δ' ὀπιδινήσας· ἐπέρεισε δὲ ἴν' ἀπέλεθρον.
Κὰδδ' ἔβαλεν μετόπισθε νεὸς κυανοπρῴροιο,
Τυτθὸν ἐδεύησεν δ' οἰήϊον ἄκρον ἱκέσθαι.
Ἐκλύσθη δὲ θάλασσα καλερχομένῃσι ὑπὸ πέτρης·
Τὴν δὲ πρόσσω φέρε κῦμα, θέμωσε δὲ χέρσον ἱκέσθαι.
Ἀλλ' ὅτε δὴ τὴν νῆσον ἀφικόμεθ', ἔνθα πὲρ ἄλλαι
Νῆες ἐϋσσελμοι μένον ἀθρόαι, ἀμφὶ δ' ἑταῖροι
Εἵατ' ὀδυρόμενοι, ἡμέας πολιὸν δέγμενοι αἰεί,
Νῆα μὲν ἔνθ' ἐλθόντες ἐκέλσαμεν ἐν ψαμάθοισιν,
Ἐκ δὲ καὶ αὐτοὶ βῆμεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
Μῆλα δὲ Κύκλωπος, γλαφυρῆς ἐκ νηὸς ἑλόντες,
Δασσάμεθ', ὡς μήτις μοὶ ἀτεμβόμενος κίοι ἴσης.
Ἀρνειὸν δ' ἐμοὶ οἴῳ ἐϋκνήμιδες ἑταῖροι,
Μήλων δαιομένων, δόσαν ἔξοχα· τὸ δ' ἐπὶ Διὶ
Ζωῇ κελαινεφέϊ Κρονίδῃ, ὃς πᾶσιν ἀνάσσει,

" Supplicabat, manus extendens in cœlum ſtelliferum:
" Audi, Neptune, terram continens nigrâ cæſarie,
" Si utique tuus ſum, paterque meus profiteris eſſe,
" Da, nè Ulyſſes urbium-everſor in patriam veniat,
" Filius Laërtis, in Ithacâ domum habens.
" At ſi illi fatale eſt amicoſque videre & pervenire
" Domum ad bene-ædificatam, & ſuam in patriam terram,
" Serò malè veniat, poſtquam perdiderit omnes ſocios,
" Nave in alienâ; inveniatque vexationes in Domo.
" Sic ait precans, illumque audivit Neptunus.
" Cæterùm ille rurſus multò majore lapide ſublato,
" Miſit circum rotatum, intendit autem magnam vim.
" Dejecit itaque poſt navem nigro roſtro;
" Paululum defuit autem, quin gubernaculum ſummum attingeret:
" Exundavit verò mare proruente ab ſaxo.
" Hanc igitur ulterius ferebat fluctus, appropinquabatque terram adire.
" Sed quando jam ad inſulam pervenimus; ubi aliæ
" Naves benè tabulatæ ſtabant denſæ, & in ipſis ſocii
" Sedebant lugentes, nos expectantes ſemper;
" Navem quidem illuc, ubi veniſſemus, ſubduximus in arenas,
" Et ipſi quoque eximus in littus maris.
" Pecora autem Cyclopis, cavâ ex navi deducta,
" Diviſimus; ut nullus mihi privatus abierit ſuâ portione.
" Arietem autem mihi ſoli bene-ocreati ſocii,
" Diviſis ovibus, dederunt extra-ſortem: eum vero in littore
" Jovi atras-nubes-*cogenti* Saturnio, qui omnibus imperat,

Σ Χ Ο Λ Ι Α.

528. Κυανοχαῖτα.] Μελανόθριξ.
538. Ἐπιδινήσας.] Περιστρέψας. Ἴν' ἀπέλεθρον.] Δύναμιν πολλήν.
540. Ἐδεύησε δ' οἰήϊον.] Ἐπὶ δὲ σφοδρᾶς αἰτίᾳ· πῶς γὰρ ἂν ἔμπαλιν ἡ ναῦς ἠνέχθη;
542. Περόω.] Εἰς τέλος πάλιν, πορίζω.
544. Ἀθρόαι.] Ὁμοῦ πᾶσαι.
545. Εἵατο.] Ἐκαθίζοντο. Ὀδυρόμενοι.] Ἀπαλαλύμενοι.
546. Ἐκέλσαμεν.] Ὥρμησαμεν, ἐσωλκίσαμεν.
551. Δασσάμεθ'.] Μεριζόμενοι, διαιρεμένων. Ἔξοχα.] Ἔξοχον, ἐξαίρετον.

Ν Ο Τ Æ.

530. Πολιπόρθιον) Quòd caſu *Florentina* hìc legeret πολίπορθον, & hunc *Aldina*, licet in hoc tantum loco, multi decepti. Vid. ad v. 504.

532. Ἀλλ' εἴ οἱ μοῖρ' ἐστὶ) *Virgil.* Æn. l. 4. v. 612. *ſi tangere portus, &c. At bello audacis populi vexatus, &c.* Vid *Macrob.* l. 5. c. 12.

Ν Α Ι Æ Λ Ε Χ Τ Ι Ο Ν Ε Σ.

530. Πολιπόρθιον) κ. πολίπορθον, ut ſupra, v. 504.
539. Μεμόνωδε) γρ. περιπέφοιδε. Vid. ſuprà, v. 482.

Ῥέξας

Ῥέξας, μηρί' ἔκηεν· ὁ δ' οὐκ ἐμπάζετο ἱρῶν,
Ἀλλ' ἄρα μερμήριζεν, ὅπως ἀπολοίατο πᾶσαι
Νῆες ἐύστελμοι, καὶ ἐμοὶ ἑρίηρες ἑταῖροι.
Ὡς τότε μὲν πρόπαν ἦμαρ, ἐς ἠέλιον καταδύντα,
Ἥμεθα δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ ἡδύ·
Ἡμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθε,
Καὶ τότ' ἐκοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
Ἡμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Δὴ τότ' ἐγὼν ἑτάροισιν ἐποτρύνων ἐκέλευσα,
Αὐτούς τ' ἀμβαίνειν, ἀνά τε πρυμνήσια λῦσαι·
Οἱ δ' αἶψ' εἰσβαινον καὶ ἐπὶ κληῖσι κάθιζον·
Ἑζῆς δ' ἐζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
Ἔνθεν ἦ πρόπρο πλέομεν, ἀκαχήμενοι ἦτορ,
Ἄσμενοι ἐκ θανάτοιο, φίλους ὀλέσαντες ἑταίρους.

" Sacrificio facto, femora incendit; ille verò non curabat sacra;
" Sed jam tum deliberabat, quo pacto perderentur omnes
" Naves bene-tabulatæ, & mei dilecti socii.
" Sic tunc quidem totâ die, donec sol occidit,
" Sedebamus, epulantes carnes immensas & dulce vinum:
" Quando verò sol occidit, & tenebræ supervenerunt,
" Et tum dormivimus in littore maris.
" Quando autem manè-genita apparuit roseis-digitis Aurora,
" Tum ego sociis *illos* excitans imperavi,
" Et ipsos conscendere & rudentes solvere;
" Illi verò statim ingressi sunt, & per transtra sedebant,
" Ordineque sedentes canum mare verberabant remis.
" Hinc igitur ulterius navigavimus, tristati corde,
" Læti *tamen* ex morte *evitatâ*, postquam charos amisimus socios.

ΣΧΟΛΙΑ.

553. Οὐκ ἐμπάζετο.] Οὐ φροντιζεν, οὐκ ἐπεφέρετο.
554. Ἀπολοίατο.] Ἀπόλωνται.
557. Ἄσπετα.] Πολλά.
565. Πρόπρο.] Εἰς τὸμπροσθεν.
566. Ἄσμενοι.] Χαίροντες.

NOTÆ.

553. Ἔκηεν) Ionicè, pro ἔκαιεν.

VARIÆ LECTIONES.

554. Μερμήριζεν) κ. μετεμήριζεν.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΙΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Κ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Κ'.

ΤΑ περὶ τὸν Αἴολον ἀπαγγέλλει, τὸν τῶν ἀνέμων φύλακα, ὡς ἔδωκεν Ὀδυσσεῖ ἄρειον Ζέφυρον, τοὺς ἄλλους ἀνέμους ἐγκαθείρξας εἰς ἀσκόν· ὃν οἱ ἑταῖροι λύσαντες, κερδαλεόφρων Ὀδυσσεύς, ἔτι εἰς αὐτὸν χρυσὸν εἶναι νομίζοντες ὑποδοχῆσι τοῦ Αἰόλου· ἃ ἀφορμώμενα ὑπὸ Αἰόλου τὸν Ὀδυσσέα, ἀπώθησε λέγοντα, εἰς Λαιστρυγόνας ἀφικνεῖται· παρ' οἷς ἔπλεσε τὰ νεῶν ἁπάντων, μιᾷ εἰς Ἀντιφάτην τὸν βασιλέα, καὶ τὸν Εὐρυλόχου τοὺς ἡμίσεας τῶν ἑταίρων κλήρῳ λαχόντας ἐσθίονται. πλοιαρχίδος· πέντε οἱ περιλειφθέντες· μετεμορφωθέντων δὲ ἐκείνων εἰς σῦας ὑπὸ τῆς Κίρκης, πλὴν Εὐρυλόχου, αὐτὸς ἐπὶ ζήτησιν ἐλθὼν, λαβὼν παρὰ τοῦ Ἑρμοῦ φάρμακον, τὸ μῶλυ, οὐδὲν βλάπτεται· ἀλλὰ καὶ τῶν ἑταίρων τὴν ὀρχαίαν φύσιν λαβόντων, ἐσιοῦσιν παραμυθίας παρὰ τῇ Κίρκῃ, εἰς ἥδε κατήρχεται.

Ἐπιγραφαί.

Τὰ περὶ Αἰόλου, καὶ Λαιστρυγόνων, καὶ Κίρκης.

Ἄλλως.

Τὰ τῆς Κίρκης νίκης· ἢ, Κίρκης νίκης.

Ἄλλως.

Κάπη· ἴχνι * Αἰόλου, Λαιστρυγόνων, ἔρια τὰ Κίρκης. L. 1 B. X.

* Vid. Not. in *Textum* infra, ad v. 36.

Αἰολίην δ' ἐς νῆσον ἀφικόμεθ', ἐν δὲ ναίεν
Αἴολος Ἱπποτάδης, φίλος ἀθανάτοισι θεοῖσι,

IN Æoliam insulam pervenimus; ubi habitabat
Æolus Hippotades, charus immortalibus dis,

ΣΧΟΛΙΑ.

1. Αἰολίην δ' ἐς νῆσον.] Οὐ τὰς Αἰόλου νήσους νῦν λεγομένας, ἀλλά τινα ἄλλην ὑπὸ Ἱππότην μύθου νῆσον λέγει. οἱ δὲ λέγοντες περὶ Σικελίαν καὶ Ἰταλίαν πεπλανῆσθαι τὸν Ὀδυσσέα, λοιδοροῦνται μὲν, λέγουσι τὰς νῦν Ἀνεμοσκοπίνας· οἱ δὲ τὰς Καμμελιναίους· Κύκλωπας δὲ τοὺς Λεοντίνους. τοὺς δὲ Αἰόλου νήσους, τὴν τε καθ' ἑαυτὸν πορθμὸν Στρογγύλλην, καὶ τὰς λοιπὰς ἑξῆς, Διδύμην, Ἱέραν, Ἰκεσίαν, Λιπάραν, Ἐρικώσαν, Φοινικοῦσσαν· τινὲς δὲ ἀλληγορεῖσθαι, Αἰολον μὲν, λέγουσι τὸν σοφὸν τοῦ Τυρρηνικοῦ πειρατοῦ κλέος λέγουσιν.

2. Αἰολος Ἱπποτάδης.] Αἰόλοι δὲ δύο· ὅτου μὲν Ἱππότου, ὃς Μίμαντος· ἔτερος δὲ Ἕλληνος, ὃς Διὸς, ὃν ὁ Ἡσίοδος μέμνηται.

NOTÆ.

V. 1. Αἰολίην δ' ἐς νῆσον) De *Allegoriâ* hujus loci, præter *Br. Schol.* Vid. *Eustath.* fol. 376. lin. 42. &c. *Palaphatum*, c. 18. *Heraclid. Ponticum*, *Diodor. Sicul.* l. 5. & quæ Nos infrà, ad v. 349. & mox ad v. 5.

2. Αἰολος Ἱπποτάδης) Τρεῖς Αἰόλους τὸ παλαιὸν ἱστοροῦσι

NOTÆ IN SCHOLIA.

V. 1. Αἰολίην δ' ἐς νῆσον) *Scholiast. Apollonii*, ad Argonaut. l. 3. v. 41. Εἰσὶ δὲ αἱ περὶ Αἰόλου νῆσοι Ἑπτὰ αὗται· Στρογγύλη, Εὐώνυμος, Ἱέρα, Λιπάρα, Διδύμη, Ἐρικώδης, Φοινικώδης, περὶ Σικελίαν. *Steph.* περὶ πόλεων, Ἐρικῶσαν, ἡ Φοινικῶσαν, meliùs vocat ultimas Duas. Confer *Diodor. Sicul.* l. 5. *Plin.* l. 3. *Eustath.* ad *Dionys.* Perieg. v. 461. & ad hunc locum, fol. 377. lin. 32.

2. Ἕλληνος, ὃς Διὸς) Ità pro *Corrupto*, Ἕκλου, ὃς ἦν Διὸς, *Eustathio* præeunte, fol. 1644. lin. 6.

VARIÆ LECTIONES.

V. 1. Ἐνθάδ') γρ. ἔνθα δ'. Priores Codd.

Πλωτὴ

Πλωτῇ σὺν νήσῳ· πᾶσαν δέ τέ μιν πέρι τεῖχος
Χάλκεον, ἄῤῥηκτον· λιστὴ δ' ἀναδέδρομε πέτρη·
Τῇ ἐν δώδεκα παῖδες ἐνὶ μεγάροις γεγάασιν·
Ἓξ μὲν θυγατέρες, ἓξ δ' ἥβαι ἠβώοντες.
Ἔνθ' ὄγε θυγατέρας πόρεν ἥμασιν εἶναι ἀκοίτας.
Οἵδ' αἰεὶ σὺν δμῳῇ πατρὶ φίλῳ ἐν μητέρι κεδνῇ
Δαίνυνθ' σὺν δὲ σφιν ἀνείατα μυρία κεῖται.
Κισσῆνι δέ τε δῶμα σὺν ἀντιθύροις αὐλῇ
Ἥμασθαι, ῥήγνυσθαι δ' αὖτε παρ' αἰδοίῃς ἀλόχοισιν
Εὐδήσω, ἔν τε τάπησι καὶ ἐν πορφυρέοις λεχέεσσι·
Καὶ μὲν τὴν ἱκόμεσθα πόλιν καὶ δώματα καλά.
Μῦθοι δ' πάντα φίλῃ μὲ, καὶ ἐξερέεινεν ἕκαστα,

Natatili in insulâ; totam tamen ipsam circumdat murus
Ferreus, infrangibilis; lævisque *pratered* surrigitur petra.
Hujus duodecim liberi in regiâ nati sunt;
Sex quidem filiæ, sex autem filii pubescentes:
Ibi ille filias conjunxit filiis, ut essent uxores.
Hi semper juxta patrem charum & matrem venerandam
Convivantur; juxtaque iis cibaria varia apponuntur:
Odorata autem domus circum personat Aulas
Die; nocte verò rursus apud pudices uxores
Dormiunt, intraque tapetas & in tessellatis lectis.
Et ad horum quidem pervenimus urbem & domos eximias.
Mensem vero totum amicè excipiebat me, & interrogabat singula,

ΣΧΟΛΙΑ.

3. Πλωτῇ.] Ἐνίοτε δὲ τὴν πλειοβίβλου, οἷον τὴν τὸ πλειοβίβλου τόπου κειμβίβλου τῶνος· ὁ δ' Ἀριστοφάνης Πλωτῇ. Φασὶν δὲ οἱ παγκρατιαστικοὶ, ὅτι ποτὲ μὲ τὸ τοῖς δίκαιοις μοίρασι, ποτὲ δὲ τὸ τοῖς ἀειπροῖς ἐρᾶσθ· οἷον δὲ τε καὶ τὴν Δῆλον ἴσασι Πλωτῆν, λέγων ὅτως, * ὧν δὲ τὰ πάντα φορεῖ κυμαίνεσι Δῆλος· πλωτὴν δὲ αὐτὴν ῥητόρων ῥητοῦσιν. τὸ δ' ἄλφα, ὡσανεὶ πλειοβίβλου τὴν αἰγιαλὸν τινα, ἢ ἐξαφαιρούμενος τὴν τὸ ἀπὸ τοῦ πλειοβίβλου· ἀφαιρεῖται δὲ τὸ ἀφ' ἑτέρου· οἱ δὲ ἐπιτιθέασι τῇ Δηλάδος, οἷον ἐν ᾗδε ὁ δεσπότης ἔδρει αὐτῇ Ὀδυσσεύς· ἢ ἐξειρημένην. Τεῖχος χάλκεον.] Ἰδιωτικὸν· ἀκόλουθον γὰρ ἦν ἀπὸ τὴν ἐξ ἀρχῆς αὐτὸ λειπόμενα.

4. Λιστή.] Λεία, ὁμαλὴ, ἢ ἀκρότριβος. Ἀναδέδρομε.] Εἰς ὕψος ἀνέδραμε.

6. Ἡβάοντες.] Ἀκμάζοντες.

8. Κεδνῇ.] Σώφρονι, σωστικῇ.

10. Κισσῆνι.] Ἤτοι νέοσμον, ἢ πύκνως μεστόχων, ἀπὸ τὸ πλῆθος τῶν ξυλείων. Περιπωγχίζουσι.] Περιεχεῖται.

12. Εὐδήσω.] Καθεύδω.

14. Φίλῃ.] Φιλικῶς ἐπεσθήκατο. Ἐξερέεινεν.] Ἀκριβῶς ἠρώτα.

NOTÆ.

δυσμενεῖ δὲ, ὁ Κρησθεὺς, ὁ Ἀδάμαντος, ὁ Σισύφου πατὴρ Ἕλληνος παῖς· ὃν Ἕλληνα, γένος μὲν φασὶ Διὸς εἶναι· λέγει δὲ, Δδυκαλίωνα· ἴτεος δὲ Αἰολος, ὁ ὢν Μαλαντίππης, ἢ Ἱππότου, ὁ δὲ Ἱππότης, τέκνον δὲ ὁ Ποσειδῶνος καὶ Ἄρνης· Ἀσκληπιάδης δὲ ἐπὶ τὸ τοῖνον τοῦτο φησι τὸ Ὀδυσσέως ἐλθεῖν.

3. Πλωτῇ σὺν νήσῳ πᾶσαν δὲ τέ μιν πέρι τεῖχος χάλκεον) Hinc Monachorum commentum illud de fratre Baccone, nobili Mathematico, *Britanniam* nostram aheneo Muro cinctum: Nec enim illorum Ignorantia *Homeri* detrahit Ingenio; nec his Ille authoritatem conciliat. Stulti, cùm sapientes imitantur, semper id ridiculè faciunt, at sapientiæ suus interim honos debetur. Vid. *Eustath.* in locum & *Br. Schol.*

NOTÆ IN SCHOLIA.

3. * Πλωτῇ) In hoc *Scholio* laudatur elegans *Pindari* Fragmentum, ut & *Eustath.* fol. 378. lin. 2. quod plenius profert *Strabo*, l. x. fol. 743. Sed nec *Isaac. Casaubonus*, nec *Andreas Schottus*, nec *Oxonienses* Editores satis corrigere valuerunt; quare Nos nunc emendatissimum exhibemus. Ἦν δὲ τετράγωνος φορεῖται Κυμαίοισιν Δῆλος, Παυσανίου ἀνάμωνι ῥητοῦσιν· Ἀλλὰ * Κεῖθι γένος, ἐστὶ Ὀδυσσῆος θείοιο ἐπίβασις, &c.

VARIÆ LECTIONES.

7. Ἀκοίτας) *Ms.* ἀκοίτης, pro ἀκοίτας, optimè, *Eustath.* fol. 378. lin. 22. Vid. *Etymolog.* M. v. Ἀκοίτης.

12. Τρητοῖς λεχέεσσι) *Ms.* τρητοῖσι λέχεσσι, *H. Steph.*

14. Πάντα φίλῃ) *Ms.* πάντ' ἐφίλῃ.

Ἴλιον, Ἀργείων τε νέας, καὶ νόστον Ἀχαιῶν·
Αὐτὰρ ἐγὼ τοῦ πάντα κατὰ μοῖραν κατέλεξα.
Ἀλλ' ὅτε δὴ καὶ ἐγὼν ὁδὸν ἤτεον, ἠδ' ἐκέλευον
Πεμπέμεν, οὐδέ τι κεῖνος ἀνήνατο, τεῦχε δὲ πομπήν·
Δῶκε δέ μοι δείρας ἀσκὸν βοὸς ἐννεώροιο,
Ἔνθάδε βυκτάων ἀνέμων κατέδησε κέλευθα·
Κεῖνον γὰρ ταμίην ἀνέμων ποίησε Κρονίων,
Ἡμὲν παυέμεναι, ἠδ' ὀρνύμεν, ὅν κ' ἐθέλησι.
Νηῒ δ' ἐνὶ γλαφυρῇ κατέδησε μέρμιθι φαεινῇ
Ἀργυρέῃ, ἵνα μήτι παρεξπνεύσῃ ὀλίγον πέρ.
Αὐτὰρ ἐμοὶ πνοιὴν Ζεφύρου προέηκεν ἀῆναι,
Ὄφρα φέροι νῆάς τε καὶ αὐτούς· αὐτὰρ ἄρ' ἔμελλεν
Ἐκτελέειν· αὐτῶν γὰρ ἀπωλόμεθ' ἀφραδίῃσιν.
Ἐννῆμαρ μὲν ὁμῶς πλέομεν νύκτας τε καὶ ἦμαρ·
Τῇ δεκάτῃ δ' ἤδη ἀνεφαίνετο πατρὶς ἄρουρα·
Καὶ δὴ πυρπολέοντας ἐλαύνομεν, ἐγγὺς ἐόντας.
Ἔνθ' ἐμὲ μὲν γλυκὺς ὕπνος ἐπήλυθε κεκμηῶτα·
Αἰεὶ γὰρ πόδα νηὸς ἐνώμων· οὐδέ τῳ ἄλλῳ
Δῶκ' ἑτάρων, ἵνα θᾶσσον ἱκοίμεθα πατρίδα γαῖαν.
Οἱ δ' ἕταροι ἐπέεσσι πρὸς ἀλλήλους ἀγόρευον,
Καί μ' ἔφασαν χρυσόν τε καὶ ἄργυρον οἴκαδ' ἄγεσθαι,
Δῶρα παρ' Αἰόλου μεγαλήτορος Ἱπποτάδαο.

Ilium, Argivorumque naves & reditum Græcorum;
Cæterùm ego huic omnia, ut decebat, enarravi.
Sed quando jam ego iter postulabam, atque admonebam
Dimittere, nihil quicquam ille abnuit, paravit autem deductionem.
Deditque mihi excoriatum utrem bovis novennis;
In quo procellosorum ventorum ligavit flatus:
Illum enim promum ventorum fecit Saturnius,
Tam mulcere, quàm tollere, quemcunque velit.
Nave itaque in cavâ alligavit funiculo splendido,
Argenteo, ut nequid præter-flaret nè paululum quidem:
Cæterùm mihi flatum Zephyri immisit ad flandum,
Ut ferret navesque & nos: non quidem *id* erat
Perfecturus: propriâ nostrâ enim perimus insipientiâ.
Per novem tamen dies continuò navigabamus noctesque & dies:
Decimâ verò jam apparebat patria tellus:
Et jam qui faces-præferrent vidimus, propè existentes.
Ibi me quidem somnus occupavit defessum;
Semper enim pedem, *i. e. clavum*, navis movebam; neque cuiquam alii
Dedi sociorum, ut celeriùs perveniremus in patriam terram.
Socii interea verbis ad se invicem loquebantur,
Et me dixerunt aurumque & argentum domum reducere,
Dona ab Æolo magnanimo Hippotadâ.

ΣΧΟΛΙΑ.

17. Ἤιτεον.] Ἤιτουν, παρεκάλουν.

18. Ἀνήνατο.] Ἠρνεῖτο.

19. Ἐννεώροιο.] Ἐννεατεῦς.

20. Βυκτάων.] Ἀθρόως πνεόντων, εὐφυσήτων, πλησάντων τὰ ἰσία. Κέλευθα.] Πνεύματα.

21. Ταμίην.] Διοικητὴν, φύλακα, ἢ σωστάτην.

23. Κατέδησ.] Καπεδήσαμεν. Μέρμιθι φαεινῇ.] Περιηχούμενον, ἵνα τῷ δεσμῷ ἀπατηθῶσιν οἱ ἐπίβουλοι· καὶ ἦν εὐδὲ ἐκ τῶν κυφότητος ἦν γναμπτὸς· σωστεύδειν γάρ. Μέρμιθι.] Σχοινίῳ.

27. Ἐκπλέσειν.] Πληρώσειν.

30. Πυρπολέοντας.] Πυρσεύοντας, πῦρ καίοντας, ἢ σβεννύντας τὸ πῦρ ἀναστρεφομένους. Ἐλαύνομεν.] Ἐβλέπομεν.

32. Πόδα νηός.] Τὸν μεζονοῦχον δὲ κέρας κάλων, ἢ τὸ πηδάλιον. Ἐνώμων.] Ἐκίνουν, μετέφερον. Οὐδέ τῳ.] Οὐδενί.

35. Ἄγεσθ.] Κομίζειν.

NOTÆ.

19. Ἀσκὸν βοὸς ἐννεώροιο) *Aristot.* Histor. l. 6. c. 21. Ἀκμαιότατος δὲ μάλιστα ὁ βοῦς πέντε ἐτῶν· διὸ καὶ Ὅμηρόν φασι πεποιηκέναι περὶ ὀρχάς· ποιήσαντα Ἄρστενα πενταέτηρον, ἢ τὸ, βοὸς ἐννεώροιο· δύναται δὲ ταὐτόν.

36. Δῶρα παρ' Αἰόλου) *Media* δὲ Αἰόλου producitur, ante *Liquidam*, vique *Toni*, quâdam denique *Metri* necessitate, quæ & multa alia Poetas cogit facere, ut *Athenæus* ostendit, fol. 632. ubi de *Versibus*, qui *Grammaticis* dicuntur ἀκέφαλοι, λαγαροὶ, μείουροι. Nonnulli in hujusmodi casibus λ'. geminant.

VARIÆ LECTIONES.

18. Οὐδέ π) *Ms.* οὐδ' ἔπ.

20. Εἰλάδι) *Ms.* ἴνδα δέ. Priores Codd.

25. Προέηκεν) *Ms.* προσέηκεν, *H. Steph.*

27. Ἐκτελέειν) *Ms.* ἐπιτελέσειν, *Br. Schol.*

31. Ἐπήλυθε) *Ms.* ἐπήλυθε, *H. Steph.*

36. Αἰόλου) *Ms.* Αἰόλῳ, vid. Not. in *Textum.*

Ὧδε

Ὣδέ δέ πις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον,
Ὦ πόποι, ὡς ὅδε πᾶσι φίλος καὶ τίμιός ἐστιν
Ἀνθρώποις, ὅτεών τε πόλιν καὶ γαῖαν ἵκηται.
Πολλὰ μὲν ἐκ Τροίης ἄγε κειμήλια καλὰ
Λητίδος· ἡμεῖς δ' αὖτε ὁμὴν ὁδὸν ἐκτελέσαντες,
Οἴκαδε νισόμεθα κενεὰς σὺν χεῖρας ἔχοντες.
Καὶ νῦν οἱ τάγ' ἔδωκε χαριζόμενος φιλότητι
Αἴολος· ἀλλ' ἄγε δᾶστον ἰδώμεθα, ὅ, τι τάδ' ἐστίν,
Ὅσσος τις χρυσός τε καὶ ἄργυρος ἀσκῷ ἔνεστιν.
Ὣς ἔφασαν· βουλὴ δὲ κακὴ νίκησεν ἑταίρων·
Ἀσκὸν μὲν λῦσαν, ἄεμοι δ' ἐκ πάντες ὄρουσαν.
Τοὺς δ' αἶψ' ἁρπάξασα φέρεν πόντονδε θύελλα
Κλαίοντας, γαίης ἄπο πατρίδος· αὐτὰρ ἔγωγε
Ἐγρόμενος, κατὰ θυμὸν ἀμύμονα μερμήριξα,
Ἠὲ πεσὼν ἐκ νηὸς ἀποφθίμην ἠὲ πόντῳ,
Ἦ ἀχέων τλαίην, καὶ ἔπι ζωοῖσι μετείην.
Ἀλλ' ἔτλην καὶ ἔμεινα· καλυψάμενος δ' ἐνὶ νηΐ
Κείμην· αἱ δ' ἐφέροντο κακῇ ἀνέμοιο θυέλλῃ
Αὖτις ἐπ' Αἰολίην νῆσον· στενάχοντο δ' ἑταῖροι.
Ἐνθάδ' ἐπ' ἠπείρου βῆμεν, καὶ ἀφυσσάμεθ' ὕδωρ·
Αἶψα δ' ἄρ' ἀμφ' ὀλκοῖσιν ἑλὼν θοῆς ἐπὶ νηυσὶν ἑταῖροι
Αὐτὰρ ἐπεὶ σίτοιό τ' ἐπασσάμεθ' ἠδὲ ποτῆτος,
Δὴ τότ' ἐγὼ κήρυκά τ' ὀπάσσάμενος καὶ ἑταῖρον,
Βῶ εἰς Αἰόλου κλυτὰ δώματα· τὸν δ' ἐνίκανον

Atque ità aliquis dicebat conspicatus in proximum alium.
" O dii, quàm hic omnibus gratus est & magni precii
" Hominibus, ad quorumcunque urbem & terram veniat:
" Multa quidem ex Trojâ ducit cimelia pulchra,
" Ex præda: nos rursus eâdem profectione confecta,
" In patriam redimus vacuas manus habentes.
" Et nunc ipsi hæc præbuit gratificans ob amicitiam
" Æolus; verùm age statim videamus, quid hæc sint,
" Quantum quid aurique & argenti utri insit.
Sic dicebant, consilium autem malum vicit socionum:
Utrem quidem solverunt, ventique omnes eruperunt.
Hos statim furens ferebat in pontum procella
Flentes, terrâ à patriâ; cæterùm ego
Experrectus, in animo simplici deliberabam,
Utrum lapsus ex navi perirem in ponto,
An tacitus sustinerem & adhuc vivis interessem;
Sed sustinui & mansi; velatus autem in navi
Jacebam: illæ interim ferebantur malo venti turbine.
Rursus ad Æoliam insulam; lugebantque socii.
Ibi in littus conscendimus, & hausimus aquam;
Statim etiam prandium ceperunt celeres apud naves socii.
Cæterùm postquam cibumque cepimus atque potum,
Tum sane ego præconem comitem eligens & socium,
Ivi ad Æoli inclytas ædes: hunc vero inveni

Σ Χ Ο Λ Ι Α.

39. Ὅτεων.] Ὧν πολῶν.
41. Λητίδος.] Λοίσιος. Ὁρμὴν.] Ὁρμίαν.
42. Νισόμεθα.] Ἀπολυσόμεθα. Κενεὰς.] Κενὰς, μεταφορικῶς.
47. Ὅρουσαν.] Ἀντὶ τοῦ, ἐξῆλθον.
50. Ἐγρόμενος.] Ἀναστὰς. Μερμήριξα.] Ἐβουλευσάμην.
51. Ἀποφθίμην.] Ἀποφθαρείην, ἀναιρεθείην.
52. Ζωοῖσι.] Ζῶσιν. Μετείην.] Συμπάρχοιμι.
59. Παασσάμεθα.] Ἐγευσάμεθα.
60. Βῶ.] Ἔβην, ἐπορεύθην. Ἐνίκανον.] Κατέλαβον.

N O T Æ.

Idem dicendum de hujus *Rhapsodiæ* Argumento Metrico, Κεῖσε ἴχι Αἰόλιε, Λαιστρυγόνος, ἔργα τὲ Κίρκης, ut Ego quidem lego. Idem notandum infra, ad v. 60. Βῶ εἰς Αἰόλιο κλυτὰ δώματα.

42. Οἴκαδε νισόμεθα κενεὰς) *Ultima* Σ νισόμεθα producitur, in *Cæsurâ*, & vi Σ κ'. ἐκβολικῶ. De voce νίσεσθαι, vid. ad δ'. v. 701. *Var. Lect.*

47. Ἀσκὸν μὲν λῦσαν· ἄεμοι) *Ultima* Σ λῦσαν producitur, in *Cæsurâ*, vi *Liquidæ*, & antè στγμὴν, necnon ob *Acutum* sequentem. Vid. ad *Var. Lect.*

51. Ἀποφθίμην) Vid. de hac Voce, ad λ'. v. 329.

60. Αἰόλιε) Vid. ad v. 36.

VARIÆ LECTIONES.

42. Νισόμεθα) γρ. νισώμεθα κενὰς, νισόμεθα, & νισόμεθα. Vid. Not. in *Textum*.
47. Λῦσαν) γρ. λύσαν.
51. Ἀποφθίμην) γρ. ἀπφθείμην.
58. Σίτοιό τ' ἐπασσάμεθα) γρ. σίτοιό τε πασσάμεθα.
60. Αἰόλιε) γρ. Αἰόλιε, vid. supra, v. 36.

Δαιτυμόνων, ὥδε κέ τ' ἀλόχῳ ἠδὲ οἴκοι τέκεσσιν.
Ἐλθόντες δ' ἐς δῶμα, θύρας ἐπιβαίνομεν ἔντοσθε
Ἐζόμεθ'· οἱ δ' ἀνὰ θυμὸν ἐθάμβεον, ἔκ τ' ἐρέοντο,
Πῶς ἦλθες, Ὀδυσεῦ; τίς τοι κακὸς ἔσχεο δαίμων;
Ἦ μέν σ' εὖ πομπῇσιν ἀπεπέμπομεν, ὄφρ' ἀφίκοιο
Πατρίδα σὴν, ἠδὲ δῶμα, ἠδ' εἴ πῃ τοι φίλον ἐστίν.
Ὣς φάσαν· αὐτὰρ ἐγὼ μετεφώνεον, ἀχνύμενος κῆρ,
Ἄασαν μ' ἕταροί τε κακοὶ, θεοὶ τε τοῖσί τι ὔπνῳ
Σχέτλιος· ἀλλ' ἀκέοντε, φίλοι· δύνασαι γὰρ σὺ ὑμεῖν.
Ὣς ἐφάμην, μαλακοῖσι καθαπτόμενος ἐπέεσσιν·
Οἱ δ' ἄνεῳ ἐγένοντο· πατὴρ δ' ἡμείβετο μύθῳ,
Ἔρρ' ὦ νῆσον θᾶσσον, ἐλέγχιστε ζωόντων·
Οὐ γάρ μοι θέμις ἐστὶ κομιζέμεν ὧδ' ἀποπέμπειν
Ἄνδρα τ', ὃς κε θεοῖσιν ἀπέχθηται μακάρεσσιν.
Ἔρρ', ἐπεὶ ῥα θεοῖσιν ἀπεχθόμενος τόδ' ἱκάνεις.
Ὣς εἰπὼν, ἀπέπεμπε δόμων βαρέα στεναχοντα.
Ἔνθεν ἴ ωστέρω πλέομεν, ἀκαχήμενοι ἦτορ.
Τείρετο δ' ἀνδρῶν θυμὸς ὑπ' εἰρεσίης ἀλεγεινῆς,
Ἡμετέρῃ ματίῃ· ἐπεὶ οὐκέτι φαίνετο πομπή.
Ἑξῆμαρ μὲν ὁμῶς πλέομεν νύκτες τε καὶ ἦμαρ·

Convivantem juxta ſuam uxorem & ſuos liberos.
Ut venimus autem in domum ad fores in limine
Sedebamus: illi verò in animo obſtupeſcebant interrogabantque,
" Quomodo veniſti, Ulyſſes? quis tibi malus ingruit dæmon?
" Certe quidem te accuratè dimiſimus, ut pervenires
" In patriam terram & ædes, & ubicunque tibi gratum eſſet.
Sic dicebant; cæterùm ego alloquebar, triſtatus corde,
" Læſerunt me ſocii mali, & ad hæc ſomnus
" Infelix; ſed medemini, amici: poteſtas enim penes vos.
Sic loquutus ſum blandis demulcens verbis:
Illi verò muti facti ſunt; at Pater excipiebat ſermone,
" Abi ocyùs ex inſulâ, peſſime viventium;
" Neque enim mihi fas eſt excipere neque dimittere
" Virum illum, qui diis inviſus eſt beatis.
" Abi; quoniam certè diis inviſus huc veniſti.
Sic loquutus; dimiſit ex ædibus graviter ſuſpirantem.
Hinc itaque ulteriùs navigavimus, afflicti corde.
Fatigabatur autem virorum animus à moleſtâ remigatione,
Noſtrâ ſtolidirate; quoniam non ampliùs apparuit Reductio.
Per ſex tamen continuò navigavimus noctesque & dies:

Σ Χ Ο Λ Ι Α.

63. Ἑξόμεθα.] Ἐκαθίσθημεν.
64. Ἔσχεο.] Μανικῶς * ἐπίθιτο.
65. Ἐνδυκέως.] Φιλοφρόνως.
67. Μετεφώνεον.] Ἐν αὐτοῖς ἔλεγον.
68. Ἄασαν.] Ἐβλαψαν.
69. Ἀκέσασθε.] Ἰάσασθε.
72. * Ἔρρ'.] Μετὰ φθορᾶς ἄπιθι. Ἐλέγχιστε.] Ἐπονειδίστε.
74. Ἀπέχθηται.] Μισεῖται.
78. Εἰρεσίης.] Κοπιώδους.
79. Ματίῃ.] Ματαιότητι, φρενοβλαβείᾳ. Πομπή.] Παράπεμψις.

N O T Æ.

64. Πῶς ἦλθες, Ὀδυσεῦ;) *Ultima* Ῡ ἦλθες producitur, ante Literam *mutam* cum *Liquidâ* &c.
66. Εἴ πῃ τοι φίλον ἐστὶν) Ità legendum, pro εἴπῃ τοι, probo ad ν'. v. 320.
72. Ἔρρ', ὦ νῆσον θᾶσσον) Huc refer *Joh. Tzetze* Chiliad. I. 9. v. 283.
75. Ἔρρ', ἐπεὶ ῥα θεοῖσιν ἀπεχθόμενος τόδ' ἱκάνεις) *Florentina, Aldina, Lovaniana Reſcii, Romana & Baſileenſis Euſtathii, Hervagiana, Caſtelliana, Cantabrigienſis, Schreveliana,* Ἔρρ', ἐπεὶ ἄρα legunt, pro quo, ἔρρ', ἐπεὶ ῥα legendum pronuntio; quòd ἐπὶ ἄρα maximè ſit congruum huic loco. ἄρα autem priorem corripiat; ita *Odyſſ.* τ'. v. 556. ἐπεὶ ῥά τοι αὐτὸν Ὀδυσῆα, &c. *H. Steph.* & illius ſequaces legunt ἔρρε, ἐπεὶ ἄρα θεοῖσιν, ut θεοῖσιν διουλοφύλλως ſoner, potuit & legi ἔρρ', ἐπὶ ἦρα θεοῖσιν, & ἔρρε, ἐπεὶ ῥα θεοῖσιν. At prior *Lellio* Junior, & *Homero* convenientior.

NOTÆ IN SCHOLIA.

64. * Ἐπίθιτο) Ità, pro corrupto ἐπίτιθ, ex *Aloyſii* MS.
72. * Ἔρρ') Μετὰ φθορᾶς ἄπιθι, ex *Euſtathio*.

Variæ Lectiones.

65. Ἀφίκοιο) γρ. ἀφίκηαι.
66. Εἴπῃ τοι φίλον ἐστὶ) γρ. εἴπῃ τι φίλον &c. Vid. Not. in *Textum*.
73. Οὐδ' ἀποπέμπειν) γρ. ἢ ἐλαύνειν, *Julian.* Epiſt. 49. fol. 453. Edit. *Spanheim.*
74. Ἄνδρα τ', ὃς κε θεοῖσιν, ἀπέχθηται) μακάρεσσιν) γρ. Ἀνέρας, οἵ κε θεοῖσιν ἀπέχθανθ' ἁλιαίετοισιν, *Julian.*
75. Ἔρρ', ἐπεὶ ῥα) γρ. ἔρρ', ἐπεὶ ἄρα, ἔρρ' ἐπὶ ἦρα & ἔρρε, ἐπεί ῥα, vid. ad *Textum*.

Ἑβδο-

Ἑβδομάτῃ δ' ἱκόμεθα Λάμου αἰπὺ πτολίεθρον,
Τηλέπυλον Λαιστρυγονίην, ὅθι ποιμένα ποιμὴ
Ἠπύῃ εἰσελάων, ὅδε τ' ἐξελάων ὑπακούῃ.
Ἔνθα κ' ἄϋπνος ἀνὴρ δοιὼ ἐξήρατο μισθώ,
Τὸν μὲν, βουκολέοντα, τὸ δ', ἄργυφα μῆλα νομεύοντ'·
Ἐγγὺς γὰρ νυκτός τε καὶ ἤματος εἰσι κέλευθοι.
Ἔνθ' ἐπεὶ ἐς λιμένα κλυτὸν ἦλθομεν, ὃν πέρι πέτρη
Ἠλίβατος τετύχηκε διαμπερὲς ἀμφοτέρωθεν·
Ἀκταὶ δ' ὑπερβλῆτες ἐναντίαι ἀλλήλῃσιν
Εἰν ὁμαλὶ προὔχουσιν· ἐρὴ δ' εἴσοδός ἐστιν.

Septimâ verò venimus Lami ad excelsam urbem
Telepylum Læstrygoniam, ubi pastorum pastor
Evocat impellens, alter verò exigens audit.
Ibi utique insomnis vir pastor duplicem capit mercedem,
Unam pascendis bobus, alteram pascendis nitidis pecoribus:
Propè enim noctisque & diei sunt viæ.
Ibi postquam ad portum inclytum venimus, quem circum petra
Excelsa erat, perpetuo utrinque;
Littoraque promintentia contraria sibi invicem
In ostia procurrunt; angustus autem introitus est.

Σ Χ Ο Λ Ι Α.

81. Λάμου αἰπὺ πτολίεθρον.] Ἀπὸ δὲ βασιλεύσαντος Λαιστρυγόνος, Λάμου, δὲ Ποσειδῶνος παιδὸς, ἡ ὀνομα Λαιστρυγών.

82. Τηλέπυλον.] Μεσαίτατον δὲ καὶ τοιοῦτον πολὺ διεστῶτι αἱ πύλαι τινὲς ἢ τὸ κάθετον Τηλέπυλον ἐξειλήφασι· οἱ δὲ πυλίπυλον φασὶ, μεταβεβηκότος ἐκ τοῦ λ εἰς τὸ ρ, ἀπὸ τοῦ πυλάτης τὸ πύλης, ἢ τοῦ μύκης. Λαιστρυγόνων.] Τῶν τοῦ Λαιστρυγόνου. Λαιστρυγόνες δὲ οἱ τῶν Λάμου αὐτῶν. Ὅθι ποιμένα ποιμήν.] Ὅπου οἱ νομεῖς ἀλλήλοις συμφέρονται· ἀπὸ τοῦ σύνηχος εἶναι τοὺς νομεύς· ἢ μᾶλλον δὲ ἀπὸ τοῦ ἀπτωτικῶς τὸ αἰπυτάτων τῶν πυλῶν μέσον ἀπέχειν, καὶ ὅπου τῶν φωνῶν ἐξακούεσθαι δύναται εἰσελαύνοντος. Ἐπαροίσας.] Καθοχεπικῶς εἴρηται ἐπαροίσας καὶ τὸ βυθίσας.

83. Ἠπύῃ.] Φωνεῖ. Εἰσελάων.] Εἰσελαύνων. Ἐξελάων.] Ἐξελαύνων.

84. Ἐξήρατο.] Ἀπομίσθου.

85. Ἄργυφα.] Λάμπα, ἢ λαμπρά.

86. Ἐγγὺς γὰρ νυκτός τε καὶ ἤματος εἰσι κέλευθοι.] Αἱ νυκτερειναὶ καὶ ἡμερειναὶ ταραὶ ἐγγὺς εἰσι τῆς πόλεως. Φασὶ δὲ τὸν Λαιστρυγόνας ἀπηχεῖσθαι τῶν τοῦ Λεοντίνου ἀδελφὸν Σικελίας χάριν, ὃ δὴ χθονιάδης πολλὰν μνείαν, καὶ τὸ οἶκον. ὅτι τοὺς μὲν λαοὺς τῇ ἡμέρᾳ νέμεσθαι, τοὺς δὲ ψιλαὶ τῇ νυκτὶ, καὶ ὅτι ἡ δυσμὴ ἀφανεστέρα δύο μοίρας λαμβάνει. Κεφὴν δέ φησι πρὸς τῷ ὄρει τῷ Ἀθαμανίῳ αὐτοὺς κατοικεῖν κεφαλὴ· ὅθεν καὶ Λαιστρυγόνιος λόγος. Κείνου γὰρ κεφαλὴ τῇ νείσῳ. ὥσπερ ἄκρα Μίσηνον δύσις τε καὶ ἀνατολαὶ ἀλλήλαις· οὕτω καὶ ἐκεῖνα μὲν ἴδιον τῶν ἀκρέων, ἐλάγιστον δὲ τῶν νήσων, ὡς ἀνάπαλιν παρὰ τοῖς Κιμμερίοις· ἔνθα ἐν δύσει ἡ ἡμέρα διπλῆν κομίζεται μισθώ.

88. Ἠλίβατος.] Ὑψηλή. Τετύχηκεν.] Ἐστὶν, ὑπάρχει. Διαμπερίς.] Αὐτὴ δὲ, ἐπίπεδος.

89. Ἀκταὶ δ' ὑπερβλῆτες.] Αἱ ὑπερτελοῦσαι τῇ ἁλὸς τὴν πέτραν, καὶ ὑποίχουσαι ἀπὸ τῆς αἰγιαλοῦ, καὶ ποιοῦσαι τὸ αὐλακα.

90. Προὔχουσιν.] Προέχουσιν. ὃ ἐν ὑποβιβάζοντος. Ἀρχὴ.] Λιμὴν καὶ τόπος.

N O T Æ.

81. Τηλέπυλον Λαιστρυγονίην) Quanquam ego Τηλέπυλον hìc, ut proprium accipio, quoniam nonnulli scrupulos hinc sibi faciunt, dicendum, Etiamsi Portæ urbis quam maximè à se invicem distarent, posse tamen *Pastores*, aut potius *Bubulcos*, sibi satis attendere: dum Unus enim redit in urbem, alius per eandem Portam exit, & nihil hìc aliud juxta literam velle *Homerum* puto, quam Urbem totam rei *Pastoritiæ* deditam. De cæteris adeas *Eustath.* fol. 383. lin. 2. &c. *Br. Schol.* etiam *Spondan.* in hunc locum fol. 135. *Cel. Rhodigin.* l. 7. c. 10. fol. 339. *Lycophron.* v. 956. & *Scholia* in locum; *Hyginum* l. iv. Titulo *Æquinoctialis*, Quicunque ad ipsius caput *Draconis* habitant, ità longo die utuntur, ut eis nè tertia quidem horæ pars in unaquâque nocte obtingat. Itaque *Aratus* ait, Κείνη γὰρ κεφαλὴ τῇ νήσῳ, ἧχί περ ἄκρη Μίσηνον δύσις τε καὶ ἀντολαὶ ἀλλήλῃσιν. *Cicero* vertit, Quod Caput hic paulum sese subitoque recondit, Ortus ubi atque Obitus parte admiscentur in una. De hoc *Homerus* quoque in *Odyssea*, qui ità brevem Noctem esse dicit, ut Pastores cùm alii exigant, alii reducant pecus, possint alius alium audire, cum unus propter Noctem pecus reducat, alter propter Lucem exigat.

84. Δοιὼ ἐξήρατο μισθὼ) *Ælian.* Animal. l. 14. c. 29. Δοιοὶ δ' Ὅμηρος εἰσὶν μισθοὶ, ὅτι ἐπ' ἀμφότερα ἀεὶ μισθὸν εἶδε οἱ ἄνδρες· τὸ μὲν ὑπὲρ τῶν βοῶν, τὸ δὲ ὑπὲρ τῶν λαμπρῶν· ὡς τοὺς αὐτοὺς εἶναι καὶ ταύτας καὶ γεωργούς.

86. Ἐγγὺς γὰρ νυκτός τε καὶ ἤματος) *Crates* dicit *Læstrygonas* sub *Draconis* Capite positos, ut ad v. 82. ex *Hygino* & *Arato*. Huc refer *Hesiod.* Theogon. à v. 748. —ἔνθ' Νὺξ τε καὶ Ἡμέρη ἆσσον ἰοῦσαι &c. ad v. 758. *Crepusculum* fit, Nocte deficiente, Die oriente, vel contrà.

Variæ Lectiones.

90. Προὔχουσιν) *Ms. Steph.* προὔχουσαι, *H. Steph.*

Ἔνθ',

Ενθ' οἵγ' εἶσω πάντες ἔχον νέας ἀμφιελίσσας.
Αἰ μὲν ἄρ' ἔντοσθεν λιμένος κοίλοιο δέδεντο
Πλησίαι· ἤ μὲν γάρ τοι ἀέξετο κῦμά γ' ὑπ' αὐτῆς,
Οὔτε μέγ', οὔτ' ὀλίγον· λευκὴ δ' ἦν ἀμφὶ γαλήνη.
Αὐτὰρ ἐγὼν οἶος σχέθον ἔξω νῆα μέλαιναν,
Αὐτῇ ἐπ' ἐσχατιῇ, πέτρης ὑπ' πείσματα δήσας.
Ἔσην ἴ, σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθών·
Ἔνθα μὲν οὔτε βοῶν, οὔτ' ἀνδρῶν φαίνετο ἔργα,
Καπνὸν δ' οἷον ὀρῶμεν ἀπὸ χθονὸς αἰσσοντα.
Δὴ τότ' ἐγὼν ἑτάροις τοῖσιν πεύθεσθαι ἰόντας,
Οἵτινες ἀνέρες εἶεν ἐπὶ χθονὶ σῖτον ἔδοντες,
Ἄνδρε δύω κείνας, τείταλον κήρυχ' ἅμ' ὀπάσσας.
Οἵδ' ἴσαν ἐκβάντες λείην ὁδὸν, ἦπερ ἅμαξαι
Ἄσυδ' ἀφ' ὑψηλῶν ὀρέων καταγίνεον ὕλην.
Κούρῃ ἴ ξυμβλήντο τοὶ ἄντικρυ ὑδρηνύσῃ,
Θυγατρὶ ἰφθίμῃ Λαιστρυγόνος Ἀντιφάταο.
Ἡ μὲν ἄρ' ἐς κρήνην κατέβησετο καλλιρέεθρον
Ἀρτακίην, ἔνθεν γὰρ ὕδωρ τοῖσι ἄστυ φέρεσκον.
Οἱ ἴ παριξάμενοι τοὶ στεφάνεον, ἔκ τ' ἐρέοντο,
Ὅστις τῆσ' εἴη βασιλεὺς, καὶ οἷσιν ἀνάσσοι.

Ibi illi intus omnes tenebant naves utrinque agitabiles:
Quæ quidem intra portum concavum ligabantur
Propinquæ: nunquam enim attollitur fluctus in ipso,
Nec; magnus, neque parvus; candida enim erat circum tranquillitas.
Cæterùm ego solus tenui extra navem nigram,
Illic in extremâ parte, petræ funes alligans.
Stabamque, speculâ excelsâ conscensâ;
Ibi quidem neque boum neque virorum apparebant opera,
Fumum tantum videbamus à terrâ erumpentem.
Cæterùm tunc ego socios præmisi scisciturum profectos,
Quinam viri essent supra terram panem vescentes;
Viris duobus electis, tertium præconem unà comitem tradens.
Illi iverunt egressi in planam viam, qua plaustra utique
Ad urbem ab excelsis montibus deducunt lignum.
Puellæ verò obvii facti sunt ante urbem aquam petenti,
Filiæ proceræ Læstrygonis Antiphatæ.
Hæc quidem ad fontem descenderat limpidum
Artaciam, hinc enim aquam ad urbem ferebant.
Illi verò astantes alloquebantur interrogabantque,
Quisnam eorum esset rex, & quibus imperaret.

ΣΧΟΛΙΑ.

97. Συκπιὴν.] Ὑψηλὴν τόπον. Παιπαλόεσσαν.] Τραχεῖαν. Ἔνθεν καὶ τῇ συνθέσει παιπάλιμον λέγομεν ἄνδρα τραχὺν, καὶ μὴ ἁπλῆν.
99. Ἀΐσσοντα.] Ἀνιόντα.
100. Περῖεν.] Περίπεμπον.
103. Λεῖην.] Λείαν, ὁμαλήν.
104. Καταγίνεον.] Κατέφερον.
105. Σύμβλητο.] * Συνήρχοντο.
107. Καλλιρέεθρον.] Καλὸν ῥεῖθρον ἔχουσαν.
108. Ἀρτακίην.] Ὄνομα κρήνης. * εἶπεν ἴ τὸ ὄνομα * παρὰ τῆς Κίρκης μεμαθηκώς· λέγει γὰρ, Οἶδα καὶ αὐτὸς Ἢ μὲν ὅσ' ἐν πόντῳ πάθετ' ἄλγεα· ἃ κατὰ τὸ σωσικόλπιον, παρὰ τῶν φυγόντων, μεμάθηκεν παρὰ τῆς κόρης, * ἐπυθέτο.

NOTÆ.

100. Περῖεν) Olim hoc in loco περῖειν, verùm quùm aliàs in omnibus Exemplaribus περῖεν legeretur, viz. ι'. v. 88. & μ'. v. 9. & Eustathius ità legat, hoc etiam in loco, ità scribo; nam à περῖημι venit, & περῖειν, ad Var. Lect. relego.

106. Ἀντιφάταο) Ab Ἀντιφάτης· mox, v. 114. Ἀντιφατῆα, quasi ab Ἀντιφατεὺς, quomodò Γηγενὴς & Γηγενεὺς, & similia. Plures Rectos habet, Τυφὼν, Τυφάων, Τυφὼς, Τυφωεὺς, quod notat Eustathius, ut Αἰδὴς, Ἀΐδης, Ἀΐς, Ἄϊδος, & Ἀϊδωνεύς.

NOTÆ IN SCHOLIA.

105. * Συνήρχοντο) Ità pro corrupto, ἦρχε, legendum.

108. * Εἶπεν ἴ τὸ ὄνομα παρὰ τῆς Κίρκης μεμαθηκὼς) ità pro Corrupto εἶπον, &c. παρ' αὐτῆς μεμαθηκότες, & mox, * ἐπυθέτο, pro ἐπύθοντο, nam Ulysses solus hic loquitur, & de eo solo hoc Scholion, quod alludit ad Circæ dictum, infrà, v. 457. Οἶδα καὶ αὐτὸς, &c. Per κόρης autem intellige Θυγατρὸς Ἀντιφάτου.

VARIÆ LECTIONES.

100. Περῖεν) χρ. περῖειν, Br. Schol. vid. N. in Text.
103. Ἄμαξαι) χρ. ἅμαξαι, ut Iliad. ι'. v. 426.
107. Κατεβήσετο) γρ. κατεβήσετο, H. Steph. vid. ad θ'. v. 417.

Ἡ δ'

Ἦ ῥ᾽ μάλ᾽ αὐτίκα πατρὸς ἐπέφραδεν ὑψερεφὲς δῶ.
Οἵδ᾽ ἐπεὶ εἰσῆλθον κλυτὰ δώματα, τῷδε γυναῖκα
Εὗρον, ὅσῳ τ᾽ ὄρεος κορυφῷ, περὶ δ᾽ ἔγνυον αὐτῷ.
Ἣ δ᾽ αἶψ᾽ ἐξ ἀγορῆς ἐκάλεσ᾽ κλυτὸν Ἀντιφατῆα,
Ὃν πόσιν, ὃς δὴ τοῖσιν ἐμήσατο λυγρὸν ὄλεθρον·
Αὐτίκ᾽ ἕνα μάρψας ἑτάρων, ὥπλίσατο δόρπον·
Τὼ ῥ᾽ δύ᾽ ἀίξαντε φυγῇ ὄπι νῆας ἱκέσθην.
Αὐτὰρ ὁ τεύχε βοῶν ἅμα ἄστεϊ· οἱ δ᾽ ἀΐοντες
Φοίτων ἴφθιμοι Λαιστρυγόνες ἄλλοθεν ἄλλοι,
Μυρίοι, οὐκ ἀνδράσιν ἐοικότες, ἀλλὰ Γίγασιν.
Οἵ ῥ᾽ ἀπὸ πετράων ἀνδραχθέσι χερμαδίοισι
Βάλλον· ἄφαρ δ᾽ κακὸς κόναβος ἀνὰ νῆας ὀρώρει,
Ἀνδρῶν ὀλλυμένων, νηῶν θ᾽ ἅμα ἀγνυμενάων·
Ἰχθῦς δ᾽ ὡς, περόνῃσι, ἀτερπέα δαῖτα φέρονται.
Ὄφρ᾽ οἱ τοὺς ὄλεκον λιμένος πολυβενθέος ἐντὸς,
Τοφρα δ᾽ ἐγὼ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ,
Τῷ ἀπὸ πείσματ᾽ ἔκοψα νεὸς κυανοπρῴροιο.
Αἶψα δ᾽ ἑμοῖς ἑτάροισιν ἐποτρύνας ἐπέλευσα
Ἐμβαλέειν κώπῃσι, ἵν᾽ ὑπ᾽ ἐκ κακότητα φύγοιμεν.
Οἱ δ᾽ ἅμα πάντες ἀνέρριψαν, δείσαντες ὄλεθρον.
Ἀσπασίως δ᾽ ἐς πόντον ἐπηρεφέας φύγε πέτρας
Νηῦς ἐμή· αὐτὰρ αἱ ἄλλαι ἀολλέες αὐτόθ᾽ ὄλοντο.
Ἔνθεν ἔτι πρυτέρω πλέομεν, ἀκαχήμενοι ἦτορ,
Ἀσμενοι ἐκ θανάτοιο, φίλους ὀλέσαντες ἑταίρους.

Illa valdè statim patris offendit excelsam domum.
Hi postquam ingressi sunt inclytam domum, ipsam quidem mulierem
Invenerunt, velut montis verticem, & abominati sunt illam.
Illa verò continuò è foro evocabat inclytum Antiphatem
Suum maritum, qui jam illis intendebat sævam mortem:
Statim uno correpto sociorum, apparavit cœnam:
Duo verò ruentes fugâ ad naves pervenerunt.
Cæterum is clamorem excitavit per urbem, atque illi audientes
Ibant fortes Læstrygones aliundè alius,
Innumeri, non hominibus similes, sed Gigantibus;
Qui à petris ponderosis saxis
Jaciebant; statim autem malus strepitus per naves excitatus est,
Virorum pereuntium, navíumque fractarum,
Tanquam pisces verò, transfigentes tristes epulas ferebant.
Dum illi hos perdebant profundum portum intrà,
Interea ego gladium acutum extrahens à fœmore,
Eo funes abscidi navis nigrâ-prorâ.
Statimque meos socios excitatos jussi
Incumbere remis; ut calamitatem subterfugeremus.
Hi simul omnes incumbunt timentes mortem.
Libenter autem in pontum altas effugit petras
Navis mea: cæterùm reliquæ densæ illic perierunt.
Hinc igitur ulteriùs navigavimus tristes corde,
Læti ex morte evitatâ, postquam dilectos amisimus socios.

Σ Χ Ο Λ Ι Α.

111. Ἐπίφραδεν.] Ἐσήμανεν, ἔδειξεν.
113. Κατὰ δ᾽ ἔγνυον.] Κατεπλάγησαν.
119. Φοίτων.] Παρεχίνοντο.
121. Ἀνδραχθέσι.] Τοῖς δυναμένοις ἄνδρα καβαιρεῖν· ἢ μέγα βάρος παρέχουσι τοῖς βαστάζουσι.
122. Κόναβος.] Ἦχος.
123. Ἀγνυμενάων.] Συμβομβούντων.
124. Ἰχθῦς δ᾽ ὡς περόνῃσι.] Ἀντὶ τοῦ, ὑποβόμβοι καὶ πτερώτης, ὥσπερ ἰχθύες, ἢ ἀμφιπείρουσι, ὡς ἰχθύας· γράφεται καὶ, σταίρουσι. πείρουσι δὲ, ἀντὶ τοῦ διείρουσιν. Φέρονται.] Προσφέρονται.
130. Ἀνέρριψαν.] Ἐκωπηλάτησαν.
131. Ἐπηρεφέας.] Ἤτοι ἀνωθεν ἐπηρεφεῖς, ἢ ἐπικεκλιμένας πέτρας.
132. Ἀολλέες.] Ὁμοῦ πᾶσαι.

N O T Æ.

120. Οὐκ ἀνδράσιν ἐοικότες, ἀλλὰ Γίγασιν) Hinc νεοι ἀνδρογίγαι facta *Callimacho*, Hymn. *Cereris*, v. 35. Et Nos, *Esther.* v. 1087. Ὠγαί τε καὶ Σηῖται καπύλσιον ἀνδρογίγαιζας. De Gigantibus diximus ad ν'. v. 59.

Variæ Lectiones.

116. Ἕνα μάρψας) γρ. ἴν᾽ ἀμμάρψας, rectissimè, pro ἀναμάρψας. *Ibid.* Δόρπον) γρ. δεῖπνον, *H. Steph.*
124. Πείρουσι) γρ. σταίρουσι, *Er. Schol.*

Αἰαίην δ' ἐς νῆσον ἀφικόμεθ'· ἔνθά δ' ἔναιε
Κίρκη ἐϋπλόκαμος, δεινὴ θεὸς, αὐδήεσσα,
Αὐτοκασιγνήτη ὀλοόφρονος Αἰήταο.
Ἄμφω δ' ἐκγεγάτην φαεσιμβρότου Ἠελίοιο,
Μητρός τ' ἐκ Πέρσης, τὴν Ὠκεανὸς τέκε παῖδα.
Ἔνθάδ' ἐπ' ἀκτῆς νηῒ κατηγαγόμεθα σιωπῇ
Ναύλοχον ἐς λιμένα, καί τις θεὸς ἡγεμόνευεν.
Ἔνθα τότ' ἐκβάντες, δύο τ' ἤματα καὶ δύο νύκτας
Κείμεθ', ὁμῶς καμάτῳ τε, καὶ ἄλγεσι θυμὸν ἔδοντες.
Ἀλλ' ὅτε δὴ τρίτον ἦμαρ ἐϋπλόκαμος τέλεσ' ἠώς,
Καὶ τότ' ἐγὼν ἐμὸν ἔγχος ἑλὼν καὶ φάσγανον ὀξὺ,
Καρπαλίμως ὤρνυτ' νηὸς ἀνήϊον ἐς περιωπήν,
Εἴπως ἔργα ἴδοιμι βροτῶν, ἠὲ πυθοίμην.
Ἔσχον δ', σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθών,

Æam autem ad insulam pervenimus: ubi habitabat
Circe pulchricoma, veneranda dea, eloquens,
Germana soror prudentis Æætæ:
Ambo enim natæ sunt ex illustrante-homines Sole,
Et matre ex Perse, quam Oceanus genuit filiam.
Hic in littore nave devenimus clàm
Navium-capacem in portum, & Deus aliquis dux erat.
Ibi tum exeuntes, duos dies & duas noctes
Jacebamus, pariter & labore, & dolore animum macerantes.
Sed quando jam tertiam diem pulchricoma perfecit aurora,
Et tum ego meam hastam capiens & gladium acutum,
Celeritèr ab nave recessi in speculam,
Sicubi opera viderem mortalium, vocemque audirem.
Stabam igitur, speculam in præruptam ubi confcendissem,

ΣΧΟΛΙΑ.

135. Αἰαίην.] * Ταύτην ἔνιοί φασι, τὴν τῶν Κίρκαιον ἐκδοὺς τῇ Ἰταλίᾳ.

136. Αὐδήεσσα.] Ἤτοι πεπαιδευμένην, ἢ εἰς λόγους καὶ προσαγορεύσεις ἀνθρώπους ἐρχομένην· ἢ καθὸ ἐπίγειός ἐστιν.

137. Ὀλοόφρονος.] Τῇ σωτικῇ καὶ ὀλέκλητρα φρονούσῃ. Αἰήταο.] Κόλχων βασιλέως, παῖδες Μυδείας, Κίρκης ἀδελφῆς.

138. Ἐκγεγάτην.] Ὑπάρχουσιν. Φαισιμβρότου.] Τὸ φῶς τοῖς ἀνθρώποις φαίνοντος.

139. Πέρσης.] Πέρση, Ὠκεανοῦ μὲν ἐπὶ θυγατρὶ, Ἠλίῳ δὲ γυναικί. * Ἠλίῳ δὲ, καὶ Πέρσῃ, τῇ Ὠκεανοῦ, Αἰήτης καὶ Κίρκη. Ἡσίοδος δὲ καὶ τὴν Ἐκάτην Περσηΐδα λέγει.

140. Ἀκτῆς.] Παραθαλασσίου τόπου.

141. Ναύλοχον.] Τὸν εἰς φυλακὴν τῶν νεῶν ἐπιτήδειον τόπον· ἢ τὰς ναῦς κρύπτοντας, ἢ ὑποδεχόμενον.

146. Ἀνήϊον.] Ἀνῆλθον, Περιωπήν.] Τόπον ὑψηλὸν· ἀφ' ἧς ἐπισκέψασθαι ἐδυνάμην τὰ ἀποσκοπούμενα.

NOTÆ.

136. Θεὸς αὐδήεσσα) Cùm nulla subsit ratio, quare *Circe* θεὸς αὐδήεσσα potius dicatur, quàm quævis alia Cœlestium Dearum, quibus vocem certè *Homerus* minimè negat; quidnî alia Antiqua *Lectio* hic præferenda videatur, ἀδήεσσα, de quâ re fusius ad ι'. v. 334. Certè *Br. Schol.* & hìc eam *Lectionem* alludunt in ipso fine, Καθὸ ἐπίγειός ἐστιν.

137. Αὐτοκασιγνήτη Αἰήταο) *Æetes*, Rex *Colchorum*, filius *Solis* & *Perseidos*, vel *Persæ*, *Oceanina*; sororem habuit *Circen*, filiam *Medeam*, filium *Absyrtum*.

138. Ἐκγεγάτην) Non hoc *Contractum*, pro ἐκγεγαίτην, tum enim *Penultima* produceretur; verùm a *Simplici* ἔκγεγα, pro ἐκγέγαα. Fit enim γέγαα, ut μεμαώς, μεμώς, *Hesychio*. Sic μεμαώς, μεμώς, minimè per *Contractionem*. Γεγάτην autem legitur in *Tertiâ* Duali; quià γέγαον æquè dicitur, atque γεγάασι. Nam ut *Tertia* Dualis definit in ον, ubi *Tertia* Pluralis exeat in ασι, ωσι, ασι, vel αν· Sic è contrà semper definit in ην, ubi *Tertia* Pluralis exeat in ον, αν, ων, vel τ' quod *Observanti* patebit. Quòd autem γέγαασι, æquè atque γεγάασι dicatur, id fine Exemplo non fit; nam ità *Bœoticè* πέφευγασι, pro πεφεύγασι, *Lycophron*. v. 252. Ἔοργαν, *Homer*. Batrachom. v. 178. Ἔγνωκαν, *D. Johan.* c. 17. v. 8. Εἴρηκαν, *Apocalyps.* c. 19. v. 3.

NOTÆ IN SCHOLIA.

135. * Ταύτην, pro αὐτὴν, lego ex *Aloysii* MS. Hunc locum explicat *Theophrastus* περὶ φυτῶν, l. 5. c. 9. Τὸ δὲ Κιρκαῖον καλούμενον, εἶναι μὲν ἄκρεμον ὑγιαλὲν, δασεῖαν δὲ σφόδρα, καὶ ἔχειν φύλλα ἐλάφου πολλὰ, καὶ μυρρίνου· λέγειν δὲ τοὺς ἐγχωρίους, ὡς ἐπιθεῖσα ἡ Κίρκη κατέκλα ἐλαίνοις τὸ Ἐλπήνορος πάθος. — Καὶ σφόδρα μὲν ἔοικεν, νῆσον εἶναι τὸ Κιρκαῖον· νῦν δὲ ὑπὸ πολεμίων τινῶν σφοδρῶς, καὶ εἶναι ἠέρα· τὸ δὲ νῆσο τὸ μέγα σφόδρα ὀγδήκοντα σταδίους. Vid. *Munck.* in *Hyginum*, p. 194.

139. * Ἠλίῳ δὲ) Has voculas, Sensui planè necessarias, ex *Aloysii* MSto addendas curavi. Huc refer *Spondan.* in locum, fol. 135. ubi ex *Hesiodo* & *Diodoro Siculo*, multa in hanc rem.

VARIÆ LECTIONES.

135. Ἔνθάδ') γρ. ἔνθα δ'.

136. Αὐδήεσσα) γρ. ἀδήεσσα, *H. Steph.* Vid. Not. in *Textum*.

Καὶ

Καὶ μοι ἐείσατο καπνὸς ἀπὸ χθονὸς εὐρυοδείης,
Κίρκης ἐν μεγάροισι, διὰ δρυμὰ πυκνὰ καὶ ὕλλα.
Μερμήριξα δ' ἔπειτα κατ' φρένα καὶ κατὰ θυμὸν
Ἐλθεῖν, ἠδὲ πυθέσθαι, ἐπεὶ ἴδον αἴθοπα καπνόν.
Ὡδε δέ μοι φρονέοντι δοάσσατο κέρδιον εἶναι,
Πρῶτ' ἐλθόντ' ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης,
Δεῖπνον ἑταίροισιν δόμεναι, ἄρεμέν τε πυθέσθαι.
Ἀλλ' ὅτε δὴ ῥεδὸν ἦα νεὸς ἀμφιελίσσης,
Καὶ τότε τίς με θεῶν ὀλοφύρατο μοῦνον ἐόντα,
Ὅς ῥά μοι ὑψίκερων ἔλαφον μέγαν εἰς ὁδὸν αὐτὴν
Ἦκεν· ὁ μὲν ποταμόνδε κατήιεν ἐκ νομοῦ ὕλης,
Πιόμενον· δὴ γάρ μιν ἔχεν μένος ἠελίοιο·
Τόνδ' ἐγὼ ἐκβαίνοντα κατ' ἄκνηστιν μέσα νῶτα
Πλῆξα· τὸ δ' ἀντικρὺ δόρυ χάλκεον ἐξεπέρησε·
Κὰδ δ' ἔπεσ' ἐν κονίῃσι μακών, ἀπὸ δ' ἔπτατο θυμός·
Τῷ δ' ἐγὼ ἐμβαίνων, δόρυ χάλκεον ἐξ ὠτειλῆς
Εἰρυσάμην· τὸ μὲν αὖθι κατακλίνας ἐπὶ γαίῃ
Εἴασ· αὐτὰρ ἐγὼ σπασάμην ῥωπάς τε λύγους τε.
Πεῖσμα δ', ὅσον τ' ὄργυιαν, ἐϋστρεφὲς ἀμφοτέρωθεν
Πλεξάμενος, συνέδησα πόδας δεινοῖο πελώρου.

And mihi apparebat fumus à terrâ latâ,
Circes in ædibus, per arbores denſas & ſylvam.
Deliberabam itaque deinde in mente & in animo
Proficiſci, atque ſciſcitari; poſtquam vidi fuliginoſum fumum.
Sic verò mihi reputanti viſum eſt ſatiùs eſſe,
Primùm profectum ad navem celerem & littus maris
Prandium ſociis dare, præmittereque ad inquirendum.
Sed quando jam propè eram vadens ad navem utrinque agitatam,
Certe tum aliquis me deorum miſertus eſt ſolum exiſtentem
Qui mihi excelſis cornibus-cervum magnum in viam ipſam
Miſit; is quidem ad flumen deſcendebat ad paſcua ſylvæ
Poraturus, jamdudum enim ipſum ceperat vis Solis.
Hunc ego egredientem per ſpinam medio tergo
Percuſſi, ipſum verò penitùs haſtile ferreum tranſiit:
Decidit itaque in pulveres vociferans, & evolavit animus.
In hunc ego irruens, haſtam ferream ex vulnere
Extraxi, illam quidem illic reclinans in terrâ
Reliqui; cæterùm ego avulſi virgultaque viminaque;
Funeque ad ulnæ longitudinem beneſorto undique
Complicato, colligavi pedes ingentis monſtri.

Σ Χ Ο Λ Ι Α.

149. Ἐείσατο.] * Ἐφάνη.

213. Ζεὺς σφέας πισσάλιο ἱκετήσιος) An, Ζεὺς σφέας πισσάλῃ;

208. * Ἐγκύρημα) Ità, pro ἔγκυρμα, ex *Aloyſii* MS. κύρημα enim & ἔγκυρμα, *Poetica* ſunt.

Ἀνθρώ-

Ἀνθρώπους ἐφορᾷ, κ᾽ τίνυ᾽, ὅς τις ἁμάρτῃ,
Ἀλλ᾽ ἄγε δὴ καὶ χρήματ᾽ ἀριθμήσω, κ᾽ ἴδωμαι,
Μή τί μοι οἴχων᾽ κοίλης ἐπὶ νηὸς ἄγοντες.
Ὡς εἰπὼν, τρίποδας θ᾽ ἑκαλλέας, ἠδὲ λέβητας,
Ἠρίθμει, κ᾽ χρυσὸν, ὑφαντά τε εἵματα καλά·
Τῶν μὲν ἄρ᾽ ὔπ᾽ πάντ᾽· ὁ δ᾽ ὀδύρετο πατρίδα γαῖαν,
Ἑρπύζων παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης,
Πόλλ᾽ ὀλοφυρόμενος· ἀγελάθεν δέ οἱ ἦλθεν Ἀθήνη,
Ἀνδρὶ δέμας εἰκυῖα νέῳ, ποιμένι μήλων,
Παναπάλῳ, οἷοί τε ἀνάκτων παῖδες ἔασιν,
Δίπλυχον ἀμφ᾽ ὤμοισιν ἔχων᾽ εὐεργέα λώπην·
Ποσσὶ δ᾽ ὑπαὶ λιπαροῖσι πέδιλ᾽ ἔχε, χερὶ δ᾽ ἄκοντα·

" Homines inſpicit, & plectit, quicunque peccat.
" Verùm agè jam res numerem, & videam,
" Ecquid mihi *ſurreptum* diſceſſerint concavâ in navi ferentes.
Sic dicens tripodas perpulchros & lebetes
Numerabat, & aurum, textáſque veſtes pulchras:
Horum quidem nihil deſiderabat: hic-tamen lugebat patriam terram,
Perreptans juxtà littus perſonantis maris,
Multùm plorans; at propè eum venit Minerva,
Viro corpore ſimilis juveni, paſtori ovium,
Permolli, qualeſque regum filii ſunt,
Duplicem circa humerum habèns pulchram veſtem:
Pedibus verò ſub teneris calceos habebat, manúque jaculum.

Σ Χ Ο Λ Ι Α.

214. Τίνυ᾽.] Τιμωρεῖται.

215. Ἀλλ᾽ ἄγε δὴ κ.τ.λ.] Ἵνα τὸν γνάμπτω * αὐτῶν Φαιάκων καθαμαθὼν· εἰ γὰρ μηδὲν ἐλλιπὲς τῶν χρημάτων, ψεύδεις ἦν τὸ εἰς ἀκριβειαν γλῶ αὐτὸν ἀφῖχθαι· ἢ πιστεύῃ ὃ τῷ δεσμῷ τ᾽ Κίρκης, ἤτοι ἀφ᾽ τῶν ἐκπλῆξιν, ἢ οἰηθεὶς μεμαθηκέναι αὐτὸς τ᾽ δεσμόν.

216. Οἴχωνται.] Ἀπολωλύασι. Ἄγοντες.] Ἀποφέροντες.

217. Περικαλλέας.] Ἄγαν εὐπρεπεῖς.

219. Πόθῳ.] * Ἐζήτει. Ὀδύρετο.] Ἀπελαύετο.

220. Ἑρπύζων.] Καθ᾽ τ᾽ αὐτὸν τόπον ἀναστρεφόμενος· ἢ ἕρπων, ἢ βαδίζων.

222. Ἐπιβώτορι.] Νεωτέρως. Ἐπιβώτορι μήλων.] Παμμήλει, ἐπὶ τ᾽ βουκημάτων πεφυλαγμένου.

223. Παναπάλῳ.] Τοιούτῳ ὁμοιότητι ὡς τὸ ἀμφοτέρωθι τ᾽ Ὀδυσσέα· ὄψιν κ᾽ ἐπιφέρει, Ὀδυσσεῦς γήθησεν· παναπάλῳ ϑ᾽, ἁπαλῷ. Οἷοί τε ἀνάκτων παῖδες ἔασι.] Τὸ παλαιὸν κ᾽ οἱ τ᾽ βασιλέων παῖδες * παναπάλοι ἐκαλοῦντο, κ᾽ ἐπεὶ μᾶλλον.

224. Δίπλυχον.] Ἀντὶ τ᾽, διπλοῦν. Λώπλω.] Ἱμάτιον, ἤτοι σφενδόνιον· ἔνιοι κ᾽ λαισοδύτης, ὁ τύπου ἀφαιρεῖσθαι λῆξις.

225. Ἔχε.] Ὑπεδέχετο.

N O T Æ.

222. Ἐπιβώτορι) Videtur *Heſychius* ἐπιβήτορι legiſſe, qui ità exponit, Ἐφιππευτῆρι· οἱ γὰρ τ᾽ βασιλέων υἱοὶ πρῶτον ἐπὶ τ᾽ κελῶν ἱππεύειν ἐμάνθανον. Vid. *Petri Victorii* Var. Lect. l. 8. c. 9. *Johan. Meurſius* ad *Lycophron.* v. 91. Rectè docet, Regum eſſe Antiquitus pecora paſcere, ubi tamen *Scholia* non rectè movet, ut probamus in Notis ad *Scholia*, v. 223.

223. Οἷοί τε) Haud rarò *Phraſis*, οἷός τε, & οἷός τε εἰμὶ, dicitur eleganter, pro δύναμαι, nunc ſimplicitèr, pro κ᾽ οἷός, vel οἷός δὴ, quod Obſervandum.

224. Εὐεργέα λώπλω) Præter *Br. Schol.* vid. quæ Nos ad *Anacreon.* v. 1267. & v. 1272.

NOTÆ IN SCHOLIA.

215. * Αὐτῶν Φαιάκων) Pro αὐτῶν ſcribo αὐτᾶν, ex MSto. & Φαιάκων addo, Lectoris causâ. Hunc locum alludit & explicat *Euſtath.* fol. 513. lin. 7. Ἐθέλῃ Ὀδυσσεὺς ποιήσειν τῦτο, ὃ σμικρολογούμενος, ἀλλὰ τιμωρούμενος, τυτέστι σκληρύνων σύντυξιν, πορίζομεν· εἰ γὰρ μηδὲν τ᾽ χρημάτων εἴλιπεν, ὃ δ᾽ ἄρα εἰς ἀκριβείαν γλῶ αὐτὸν κατήγαγον· ἢ ἄλλως δὴ ἄρα εἰς ἐκπλῆξιν, οἰ ϑεὶ τὰ χρήματα ἔπλασαν, ὃ δ᾽ ἄρα εἰς Ἰθάκην αὐτὸν ἤγαγον. Οὐ πιστεύ ϑ᾽, φασὶν, ὃ δὴ τῷ τ᾽ Κίρκης δεσμῷ ἀνεπιβουλεύτῳ ὄντι, ὡς ἢ ἀφ᾽ τοῦ ἄγαν ἐκπλῆξαι σκληρυθεὶς ϑ᾽ σκέψασϑ αὐτὸν, ἢ κ᾽ ὡς εἰκὸς, οἰηθεὶς τὰς Φαιάκας μεμαθηκέναι κ᾽ αὐτὸς τ᾽ πιῶτον διαμόνου.

219. * Πόθῳ) Ἐζήτει· Ὀδύρετο) Ἀπελαύετο. Olim malè, Πέθῳ) Ἀπελαύετο. MS. Ἀποζήτει. Cætera ex *Textu*.

222. Ἐπιβώτορι) Vid. Not. in *Textum*.

223. Παναπάλῳ) *Meurſius* legit παναπόλῳ, ſatis ſubtiliter; quam *Lectionem*, propter ſequens ἐνίοι μᾶλλον, *Veram* aliquis putârit; niſi Poeta ipſe * παναπάλοι legendum oſtendiſſet, illaque Vox ſola per *Verſum* ſtare poſſet. Vid. Not. in *Textum*.

VARIÆ LECTIONES.

214. Τίνυ᾽) χρ. τίννυ᾽.

222. Ἐπιβώτορι) χρ. ἐπιβήτορι, vid. Not. in *Textum*.

223. Παναπάλῳ) χρ. παναπόλῳ, vid. Not. in *Scholia*.

225. Χερὶ) γρ. χειρὶ, *H. Steph.*

Τὸν δ᾽

Τὼδ' Ὀδυσεὺς γήθησεν ἰδὼν, ᾗ ἐναντίον ἦλθε,
Καί μιν φωνήσας, ἔπεα πτερόεντα προσηύδα,
Ὦ φίλ', ἐπεί σε πρῶτα κιχάνω τῇδ' ἐνὶ χώρῳ,
Χαῖρέ τε, καὶ μή μοί τι κακῷ νόῳ ἀντιβολήσαις·
Ἀλλὰ σάω μὲ ταῦτα, σάω δ' ἐμέ· σοὶ γὰρ ἔγωγε
Εὔχομαι, ὥς τε θεῷ, καί σῇ φίλα γούνατ' ἰκάνω.
Καί μοι ταῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
Τίς γῆ; τίς δῆμος; τίνες ἀνέρες ἐγγεγάασιν;
Ἦ πού τις νήσων εὐδείελος, ἠέ τις ἀκτὴ
Κεῖθ' ἁλὶ κεκλιμένη ἐριβώλακος ἠπείροιο;
Τόνδ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη,
Νήπιος εἶς, ὦ ξεῖνε, ἢ τηλόθεν εἰλήλουθας,
Εἰ δὴ τήνδε γε γαῖαν ἀνείρεαι· οὐδέ τι λίην
Οὕτω νώνυμός ἐστιν· ἴσασι δέ μιν μάλα πολλοί,
Ἠμὲν ὅσοι ναίουσι πρὸς ἠῶ τ', ἠέλιόν τε,
Ἠδ' ὅσοι μετόπισθε ποτὶ ζόφον ἠερόεντα.
Ἦτοι μὲν τρηχεῖα, καὶ οὐκ ἱππήλατός ἐστιν,
Οὐδὲ λίην λυπρὴ, ἀταρ οὐδ' εὐρεῖα τέτυκται.
Ἐν μὲν γάρ οἱ σῖτος ἀθέσφατος, οὐδέ τε οἶνος
Γίγνεται· αἰεὶ δ' ὄμβρος ἔχει, τεθαλυῖά τ' ἔέρση.

Hanc Ulyſſes lætabatur conſpectu & obvius venit,
Et ipſam compellans verba velocia locutus eſt;
" O amice, poſtquam te primùm invenio hoc in loco,
" Salve, & neutiquam mihi malo animo occurreris.
" Sed ſerva hæc, ſerva etiam me, tibi enim ego
" Supplico, tanquam Deo, & ad tua chara genua accedo.
" Et mihi hæc dic verè, ut certò ſciam,
" Quæ terra? quis populus? qui viri inſunt?
" Num qua inſularum amœna? an aliquod littus
" Jacet ad mare vergens fertilis continentis?
Hunc contrà affata dea cæſia-oculis Minerva:
" Stultus es, ô hoſpes, aut longè veniſti;
" Siquidem hanc terram interrogas? neque enim uſque
" Adeò ignobilis eſt, norunt eam valdè multi,
" Tam quicunque habitant ad Auroram, Solemque,
" Quàm quicunque ponè ad noctem obſcuram.
" Certè quidem aſpera, & non equitabilis eſt;
" Neque valdè ſterilis, at neque lata eſt.
" Ibi etenim Triticum multum, ibi quoque Vinum
" Adeſt, ſempérque pluvia habet *illam* vireſcenſque ros;

ΣΧΟΛΙΑ.

228. Κιχάνω.] Καταλαμβάνω.
229. Ἀντιβολήσῃς.] Συναντήσῃς.
230. Σάω.] Σῶσον.
235. Κεκλιμένη.] * Πεπλεχομένη.
239. Νώνυμός.] Ἀνώνυμός.
241. Μετόπισθεν.] Εἰς τὰ ἑναντία μέρη.
243. Οὐδὲ λίην λυπρή.] Οὐδὲ ὅλως εὐπλής.
245. Τεθαλυῖα.] Θαλλεῖν ποιοῦσα καὶ αὔξειν τὰ φυτὰ, καὶ βόσκουσα· πῶς ἂν ἔνδροσος, εἰ οὐ ἠπείρου νέμοιτο; ὁδὸν κωλύει καὶ οὐ Ἰθάκην. ἢ βόσκουσα, βοσκημάτων πλήρης. * Ἔερση.] Δρόσος.

NOTÆ.

* Ita *Aldina* Editio.

244. Ἐν μὲν γάρ οἱ σῖτος) In pluribus *Exemplaribus*, pro οὐ, ſemper ου legitur, ut bis in hoc Verſu, & ſemel, v. 247. nempe, in *Florentin. Aldinâ, Lovanian.* &c. Verùm *Euſtath.* in *Textu* & παρεκβολαῖς, τὸ οὐ ubique retinet, ut & *H. Steph.* qui tamen ου inter *Var. Lect.* habent. In aliquibus ſemel tantùm ου occurrit, aut bis, toties quoque οὐ. Verùm *ter*, in omnibus, vel οὐ, vel ου, retinendum; οὐ tamen magis arridet.

NOTÆ IN SCHOLIA.

235. * Πεπλεχομένη) Ità pro corrupto περιεχομένη, ex MS. *Aloyſiano.*

245. Τεθαλυῖά τ' ἔέρση) Hoc *Scholion* benè explicat *Euſtathius* fol. 514. lin. 44. Φασὶ δέ οἱ Παλαιοὶ, ψεύδεσθαι τῷ ῥητῶσαι ἔκφρασιν· ἐπεὶ μὴ λέγειν τὸ Ποιητὴν, οἷα ἐστὶν ἡ κρανία αὕτη νῆσος, εἰκὸς οἵαν τινὰ χρὴ νῆσον εὐδαιμόνως οἰκουμένην· ἔχει γὰρ τὰ μὲν ἄλλων ἀδὲ βάσιμον ἡ νῆσος, εἶτα τὰ τοῦ Ὀδυσσέως βυσσόεσσα, φασὶν, οὐ Ἠπείρου ὄν· εἰ μὴ ἄρα συλληπτικῶς ἴσως τῇ Ἰθάκῃ σωτηριοσῆσιον ἐστὶ τῷ ἀντικρὺ αὐτῆς κειμένῳ Ἤπειρον.

VARIÆ LECTIONES.

226. Ἐναντίος) γρ. ἑαυτόν. *H. Steph.*
233. Ἐγγεγάασιν) γρ. ἐκγεγάασιν, *Seberi* Index, haud benè.
244. Ἐν μὲν — οὐ δ') γρ. οὖ μὲν — οὖ δ', vid. Not. in *Textum.*
245. Τεθαλυῖά τ' ἔέρση) γρ. πεθαλυῖά τι ἔρση.

Αἰγιβό-

Αἰγίβοτόν δ' ἀγαθὴ, ἡ βόσκεται· ἔστι μὲν ὕλη
Παντοίη, ἡ δ' ἀρδμοὶ ἐπιστάνοι παρέασιν.
Τῷ τοι, ξεῖν', Ἰθάκης γε καὶ ἐς Τροίην ὄνομ' ἵκοι,
Τὴν περ τηλοῦ φασὶν Ἀχαιΐδος ἔμμεναι αἴης.

250 Ὣς φάτο· γήθησεν δῖος πολύτλας δῖος Ὀδυσσεύς,
Χαίρων ἧι γαίῃ πατρωΐῃ, ὡς οἱ ἔειπε
Παλλὰς Ἀθηναίη, κούρη Διὸς Αἰγιόχοιο.
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα,
Οὐδ' ὅγ' ἀληθέα εἶπε, πάλιν δ' ὅγε λάζετο μῦθον,

255 Αἰεὶ σὺν φρεσὶ νόον πολυκερδέα νωμῶν,
Πυνθανόμην Ἰθάκης γε καὶ ἐν Κρήτῃ εὐρείῃ,
Τηλοῦ ὑπὲρ πόντου· νῦν δ' εἰλήλουθα καὶ αὐτὸς
Χρήμασι σὺν τοῖσδεσι· λιπὼν δ' ἔτι παισὶ τοσαῦτα
Φεύγω, ἐπεὶ φίλον υἱὸν κατέκτανον Ἰδομενῆος,

260 Ὀρσίλοχον πόδας ὠκύν, ὃς ἐν Κρήτῃ εὐρείῃ
Ἀνέρας ἀλφηστὰς νίκα ταχέεσσι πόδεσσιν·
Οὕνεκά με στερέσαι τ' ληΐδος ἤθελε πάσης
Τρωϊάδος, τ' εἵνεκ' ἐγὼ πάθον ἄλγεα θυμῷ,
Ἀνδρῶν τε πολέμους, ἀλεγεινά τε κύματα πείρων·

265 Οὕνεκ' ἄρ' οὐκ ὦ παλεὶ χαριζόμενος θεράπτυον
Δήμῳ ἔνι Τρώων, ἀλλ' ἄλλων ἦρχον ἑταίρων·
Τὸν μὲν ἐγὼ καλιόντα βάλον χαλκήρει δουρὶ

* Pascendis capris commoda & bubus: est quidem sylva
" Omnigena, ibi quoque aquationes perpetuæ adsunt.
" Itaque, hospes, Ithacæ & in Trojam nomen pervenerit,
" Quam longè dicunt Achaicâ esse à terrâ.
Sic dixit; lætatus est autem patiens divinus Ulysses,
Gaudens suâ terrâ patriâ, sicut ei dixit
Pallas Minerva, filia Jovis Ægiochi:
Et ipsam appellans velocia verba dixit,
Neque vera dixit, iterúmque cœpit sermonem,
Semper in præcordiis mentem perastutam movens,
" Audiebam de Ithacâ & in Cretâ latâ,
" Longè supra pontum, nunc autem veni, & ipse
" Rebus cum his: Relinquens verò adhuc filiis totidem,
" Fugio, quoniam dilectum filium interfeci Idomenei,
" Orsilochum pedibus velocem, qui in Cretâ latâ
" Viros artifices vincebat velocibus pedibus;
" Quoniam me privare prædâ volebat omni
" Trojanâ; cujus gratiâ ego passus sum dolores animo,
" Virorúmque bella, tristésque undas penetrans:
" Quoniam non suo patri gratificatus serviebam
" Agro in Trojanorum; sed aliis imperabam sociis.
" Hunc quidem ego discedentem percussi æreâ lanceâ

ΣΧΟΛΙΑ.

246. Αἰγίβοτον.] Αἶγας βόσκει δυναμένη.
247. Ἀρδμοί.] Πόσιμοι. Ἐπιστάνοι.] Σωρεῖς, διώρυγες. Παρέασι.] Πάρεισιν, ὑπάρχουσι.
251. Πατρωΐῃ.] Πατρικῇ.
254. Πάλιν δ' ὅγε λάζετο.] Εἰς τοὐναντίον τ' ἀληθοῦς· ὃ ἴσον ἐκ δόλου ἢ τ λόγου ἀπελάβετο.
255. Πολυκερδέα.] Σωστὸν, ἢ πανοῦργον. Νωμῶν.] Διανέμων.
256. Πυνθανόμην.] Ἤκουον. * Hæc in Aldinâ desunt.
258. Τοῦδεσι.] Τούτοις.
259. * Φεύγω, ἐπὶ φίλον υἱὸν κατέκτανον Ἰδομενῆος.] Ἰδομενεὺς, παῖς μὲν ἦν Δευκαλίωνος, τ Μίνω Κρὸς ἢ τὸ γένος, ἄριστος τὸ πολέμια· παρ' ἑκάστοις γὰρ ἀριστείαις στρατὸς φαινόμενος, μίσχει τ νέων ἄριστος διεφυλάχθη· ἐπ Ἴλιον ἦλθε, ὡς λέγεται. ἡγεμόνευε δ καὶ Εὐβοίαις καὶ μώνος ὑπὸ τ Ἀθηνᾶς, ὤκειλε μὴ δ Καφηρίδι καὶ Σηπιάδι, εἰς Κολοφῶνα, κἀκεῖθεν τ βίον κατέστρεψεν. ἡ δ ἱστορία παρὰ Λυκόφρονι. Κατέκτανον.] Ἀπέκτειναν, ἐφόνευσαν.
260. Ὀρσίλοχον.] Τὸν παῖδα Ἰδομενέως.
261. Ἀλφηστάς.] Εὐρεῖκάς.
262. Στερέσαι.] Ἀποστερῆσαι.
263. Τρωϊάδος.] Τρωϊκῆς.
264. Πείρων.] Διαπερῶν, διερχόμενος.
267. Τὸν μὲν ἐγὼ καλιόντα.] Σκαπτίστην τ Ἰδομενέως ὑὸν ἀνῃρηκέναι, ἵνα αὐτὸν * ἀποστήσας,] οἱ μνηστῆρες, ὡς ἐχθρὸν δ Ὀδυσσέως φίλον· ἑαυτῷ ἢ αὐ Κρήτῃ ὑὸς

NOTÆ IN SCHOLIA.

267. * Προστήσας.)) Olim πορήσας), in *Elzevir.* παρώσας), in Aliis, & in MS. *Aloysii.* Verùm *Eustath.* hæc Scholia illustrat, fol. 516. lin. 34. Ἐν τῷ ῥητῷ χαρίεν γεγράφασι οἱ Παλαιοὶ, ὅτι πλανώς ὁ σοφὸς Ὀδυσσεὺς, ὡς τ φαινόμενον Ἰθακήσιον παῖδα, πολλάκις ἀνῃρηκέναι μὲν Ἰδομενέως, δ φιλεμένου τῷ Ὀ-

VARIÆ LECTIONES.

247. Ἔστι) γρ. ἔνι, ut suprà, v. 244.
251. Πατρωΐῃ) γρ. πατρώῃ, vid. suprà v. 188.

Ἀγρόν-

Ἀγρόθεν, ἐγγὺς ὁδοῖο λοχησάμενος σὺν ἑταίρῳ.
Νὺξ ἦ μάλα δνοφερὴ κάτεχ' οὐρανόν, οὐδέ τις ἡμέας
Ἀνθρώπων ἐνόησε· λάθον δέ ἑ θυμὸν ἀπούρας.
Αὐτὰρ ἐπεὶ δὴ τόν γε κατέκτανον ὀξέϊ χαλκῷ,
Αὐτίκ' ἐγὼν ἐπὶ νῆα κιὼν Φοίνικας ἀγαυοὺς
Ἐλλισάμιλω, καί σφιν μνησάμενος λησίδα δῶκα·
Τοὺς μ' ἐκέλευσα Πύλονδε καταστῆσαι ἠ ἑφέσασθαι,
Ἢ εἰς Ἤλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί.
Ἀλλ' ἤτοι σφέας κεῖθεν ἀπώσατο ἶς ἀνέμοιο,
Πόλλ' ἀεκαζομένους· οὐδ' ἤθελον ἐξαπατῆσαι.
Κεῖθεν ἦ πλαγχθέντες ἱκάνομεν αὐτάδε νυκτός·
Σπευδῆ δ' ἐς λιμένα προερέσσαμεν, οὐδέ τις ἡμῖν
Δόρπου μνῆστις ἦεν, μάλα περ χατέουσιν ἐλέσθαι·
Ἀλλ' αὔτως ἀπιβάντες ἐκείμεθα νηὸς ἄπαντες.
Ἔνθ' ἐμὲ μὲν γλυκὺς ὕπνος ἐπήλυθε κεκμηῶτα.
Οἱ δ' ἐκ νηὸς ἑλόντες, ἐμὰ γλαφυρῆς ἐκ νηὸς ἑλόντες,
Κάτθεσαν, ἔνθα περ αὐτὸς ἐπὶ ψαμάθοισιν ἐκείμην.
Οἱ δ' ἐς Σιδονίην εὖ ναιομένην ἀναβάντες
ὨΙίχοντ'· αὐτὰρ ἐγὼ λιπόμην ἀκαχήμενος ἦτορ.

" Rure, propè viam insidiatus cum socio.
" Nox autem valdè obscura occupaverat cœlum, neque aliquis nos
" Hominum animadvertit; latui itaque, cùm *illum* animâ spoliabam.
" At postquam hunc interfeci acuto ære,
" Statim ego in navem iens Phœnicas illustres
" Oravi, & ipsis, quæ satis esset, prædam dedi.
" Hos me jussi Pylum deferre & collocare,
" Vel in Elida Divinam, ubi dominantur Epéi:
" Sed certè ipsos illinc repulit vis venti
" Multùm nolentes; neque enim volebant fallere.
" Illinc autem errantes venimus huc nocte;
" Ægréque in portum appulimus, neque aliqua nobis
" Cœnæ mentio erat, valdè licet indigentibus sumere;
" Sed temerè egressi jacebamus ex navi omnes.
" Hìc me quidem dulcis somnus invasit defessum:
" Hi verò fortunas meas concavâ ex navi subiatas
" Deposuerunt, ubi ipse in arenis jacebam.
" Atque illi in Sidoniam pulchram navi consensâ
" Iverunt; at ego relictus sum tristis animo.

ΣΧΟΛΙΑ.

Φησὶν εἶναι, ὅτι τὰς πυρρήσεις ἔξω· καὶ τὸ Ὀρσιλόχου ἦ θαλάσσης λέγει ἀφ' οὗ τὸν λεῖον δεικνύς, ὅτι οὐδὲ σκεῖμαι παραχωρήσει ἀναμονῆ. Φοίνιξι ἦ πιστεύσας λέγει, ἵνα μὴ ἀδικήσῃ, λογισάμενος, ὅτι οἱ φιλοκερδέστατοι αὐτῷ ἐφείσαντο.

268. Ἀγερθεν.] Ἐκ δὲ ἀγορᾶς. Λοχησάμενος.] Λοχίσας, ἐνεδρεύσας.

269. Δνοφερή.] Μέλαινα, σκοτεινή.

273. Μενοεικέα.] Πρόσφορα ἢ * ἀρέσκουσαν τῇ ψυχῇ.

274. Καθέσσαμεν.] Ἀποκαθέσσαμεν. Ἑφέσασθαι.] Ἰδρύσασθαι εἰς τὸν ναῦν.

276. Ἀπώσατο.] * Ἀπωθήσατο.

277. Ἀεκαζομένους.] Ἀκόντας, μὴ βουλομένους. Οὐδ' ἤθελον ἐξαπατῆσαι.] Ἐπαινεῖ τοὺς Φοίνικας, ἵνα ὁ ἀκούων μιμήσηται.

278. Πλαγχθέντες.] Πλανηθέντες. Ἱκάνομεν.] Παραγινόμεθα.

279. Προερέσσαμεν.] Καθελκύσαμεν, ἀντὶ δὲ ἐσελθόμεν.

280. Μνῆστις.] Μνήμη. Χατέουσι.] Χρῄζουσι, δεομένοις.

281. Ἀποβάντες.] Ἐξελθόντες.

282. * Ἐπίλαβε.] Κατέχει.

285. Σιδονίην.] Τὴν τῶν Σιδῶνος χώραν, τὴν Φοινίκην.

NOTÆ IN SCHOLIA.

δυσεῖ· ὡς ἂν αὐτὸν ᾠήσωσιν), φασὶ, δι' αὐτοῦ οἱ μνησῆρες, ἤτοι ᾠησάμενοι), ὡς ἐχθρὸν δὲ Ἰδομενέως, ὃν Ὀδυσσεὺς ἐφίλει· φιλοῖτο γὰρ ἂν πάντως ὑπὸ τοῦ μνησῆρος, ὁ τοῦ φίλου δὲ Ὀδυσσέως ἐχθρός. Ἰθάκης δ', φασίν, ὁ Κρήτης ἔχειν λέγει, ἀφοβῶν, ὡς εἰκὸς κατὰ τὸν Ἰθάκης κακὸν, ἕξειν τοὺς πυρρήσεις. Καὶ τὸν Ὀρσίλοχον ἦ ἁλιεῖν λέγει, ἀφ' οὗ τὸν εἰρῆσθαι τὸν λεῖον, δεικνὺς, ὡς εὐμυθικὸς ὢν οὐδὲ τὸν παραχωρήσει τοῖς τοῦ Ἰθάκης, ἀναμονὴ εἰρῆσθαι αὐτὸν, ὧν ἔχει χρημάτων· τοὺς Φοίνικας δὲ ἐπαινεῖ, διδάσκων, μὴ δεῖν ἀδικηθῆναι, μηδὲ ὑπὸ τοῦ καλοῦ τοῦ Ἰθάκου, εἶναι καὶ οἱ φιλοκερδεῖς Φοίνικες αὐτοῦ ἐφείσαντο.

273. * Ἀρέσκουσαν) Pro ἀρέσκουσα scribo, ob λησίδα, &c.

276. * Ἀπωθήσατο) Et hoc pro corrupto λαθήσατο.

282. * Ἐπίλαβε) γρ. ἐπήλυθε, MS. *Aloys.* & Omnes Editt. Vett. ἐπίλαβε. Vid. infrà, ad v. 391.

VARIÆ LECTIONES.

282. Ἐπήλυθε) γρ. ἐπίλαβε, vid. Not. in *Schol.*

Ὣς φάτο· μείδησεν δὲ θεὰ γλαυκῶπις Ἀθήνη,
Χειρί τέ μιν κατέρεξε· δέμας δ' ἤϊκτο γυναικὶ
Καλῇ τε, μεγάλῃ τε, καὶ ἀγλαὰ ἔργ' εἰδυίῃ·
Καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα,
Κερδαλέος κ' εἴη καὶ ἐπίκλοπος, ὅς σε παρέλθοι
Ἐν πάντεσσι δόλοισι, καὶ εἰ θεὸς ἀντιάσειε.
Σχέτλιε, ποικιλομῆτα, δόλων ἆτ', οὐκ ἄρ' ἔμελλες,
Οὐδ' ἐν σῇ περ ἐὼν γαίῃ, λήξειν ἀπατάων,
Μύθων τε κλοπίων, οἵ τοι πεδόθεν φίλοι εἰσίν;
Ἀλλ' ἄγε μηκέτι ταῦτα λεγώμεθα, εἰδότες ἄμφω
Κέρδε· ἐπεὶ σὺ μὲν ἐσσὶ βροτῶν ὄχ' ἄριστος ἁπάντων
Βουλῇ καὶ μύθοισιν· ἐγὼ δ' ἐν πᾶσι θεοῖσι
Μήτιν τε κλέομαι καὶ κέρδεσιν· οὐδέ σύ γ' ἔγνως
Παλλάδ' Ἀθηναίην, κούρην Διός, ἥτε τοι αἰεὶ
Ἐν πάντεσσι πόνοισι παρίσταμαι, ἠδὲ φυλάσσω,
Καὶ δέ σε Φαιήκεσσι φίλον πάντεσσιν ἔθηκα;
Νῦν δ' αὖ δεῦρ' ἰκόμην, ἵνα τοι σὺν μῆτιν ὑφήνω,
Χρήματά τε κρύψω, ὅσα τοι Φαίηκες ἀγαυοὶ
Ὤπασαν, οἴκαδ' ἰόντι, ἐμῇ βουλῇ τε, νόῳ τε·
Εἴπω θ', ὅσσα τοι αἶσα δόμοις ἔνι ποιητοῖσι
Κήδε' ἀναρχέα δ' σὺ ὑπὸ τετλάμεναι καὶ ἀνάγκῃ,
Μηδὲ τῳ ἐκφάσθαι, μήτ' ἀνδρῶν, μήτε γυναικῶν,
Πάντων, οἵνεκ' ἄρ' ἦλθες ἀλώμενος· ἀλλὰ σιωπῇ
Πάσχειν ἄλγεα πολλὰ, βίας ὑποδέγμενον ἀνδρῶν.

Sic dixit; risit autem dea glaucis-oculis Minerva,
Manúque ipsum demulsit; corpus verò assimilata est mulieri
Pulchræque, magnæque, & illustria opera scienti,
Et ipsum appellans verba velocia alloquuta est,
" Dolosus esset, & fallax, qui te superaret
" In omnibus dolis, & si Deus occurreret.
" Male, versute, dolis insatiabilis, non utique eras,
" Neque in tuâ cùm sis terrâ, desiturus à fallaciis,
" Verbisque fallacibus, quæ tibi ab ortu amica sunt?
" Sed agè nè ampliùs hæc dicamus, cùm sciamus ambo
" Dolos; quoniam tu quidem es hominum quàm optimus omnium
" Consilio & verbis; ego autem inter omnes Divos
" Consilióque inclyta sum & dolis: neque tu cognoscebas
" Pallada Minervam filiam Jovis, quæ tibi semper
" In omnibus laboribus asto, & servo;
" Atque te Phæacibus gratum omnibus reddidi?
" Nunc rursus huc veni, ut tibi consilium contexam,
" Fortunásque abscondam, quascunque tibi Phæaces illustres
" Dederunt, domum eunti meo consilióque, mentéque.
" Dicámque, quos tibi fatale est ædibus in fabrefactis
" Dolores tolerare: tu autem tolera etiam necessitate,
" Neque alicui eloquere, neque virorum, neque mulierum
" *Nè hilum quidem* omnium, quòd venisti errans: sed tacendo
" Patere dolores multos, injurias sustinens virorum.

ΣΧΟΛΙΑ.

288. Δίμας δ' ἤϊκτο γυναικί.] Ἐντεῦθεν Ξενοφῶν τῷ * Ἀρετῇ ἐ τῇ * Κακίᾳ ἀνέπλασεν. Ἤϊκτο.] Ὡμοίωτο.

291. Κερδαλέος.] Πανοῦργος. Ἐπίκλοπος.] Παραλογιστής. Παρέλθοι.] Νικήσῃ, μεταφορικῶς.

294. Λήξειν.] Παύσεσθαι. Ἀπατάων.] Παραλογισμῶν.

295. Κλοπίων.] Τῶν κεκλεμμένων, καὶ μὴ ἀληθῶν. Πεδόθεν.] Ἐκ νέας ἡλικίας· ἢ, ἀπὸ τῶν πέδων.

299. Μήτ.] Βουλῇ, γνώμῃ. Κλέομαι.] Δοξάζομαι.

303. Ὑφήνω.] Καταστοχάσωμαι.

308. Μηδ' τῳ.] Μηδ' τινι. Ἐκφάσθαι.] Εἰπεῖν.

310. Ὑποδέγμενος.] Ὑποδεχόμενος.

NOTÆ.

299. Μήτ) Pro *μήτηδ*, vel *μήτηϊ*, *Contractim*, quare & *Ultima* producitur.

NOTÆ IN SCHOLIA.

288. *Τῷ Ἀρετῷ καὶ τῇ Κακίᾳ) Ad hujus *Scholii* explicationem adeundus *Xenophon*, Ἀπομνημονευμάτων, l. 2. ubi *Prodicum* imitatur, qui in Ὥρας *Herculem* introducit, à *Virtute* & *Voluptate*, diversim interpellatum; de quo *Philostratus*, Vitâ *Sophistarum*, l. 1. *Silius Italicus*, l. 5. *Maximus Tyrius* §. IV. *Aristoph.* Schol. fol. 81. *Lucian.* In Somnio, M. *Cicero*, & Nos in Vitâ *Euripidis*, §. XII. fol. x.

VARIÆ LECTIONES.

295. Κλοπίων) γρ. κλοπίμων & πλοκίων. *H. Steph.*

Τὸν δ' ἀπαμφιβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Ἀργαλέον σέ, θεά, γνῶναι βροτὸν ἀντιβάσαντα,
Καὶ μάλ' ἀφραδέμονα· σὲ γὰρ αὐτίκα πάντα εἰσκύρ.
Τῶν δ' ἐγὼν εὖ οἶδ', ὅπι μοι πάρος ἠπία ἦσθα,
Ἕως σὺν Τρώεσσι πολεμίζομεν υἷες Ἀχαιῶν·
Αὐτὰρ ἐπεὶ Πριάμοιο πόλιν διεπέρσαμεν αἰπήν,
Βῆμεν δ' ἐν νήεσσι, θεὸς δ' ἐκέδασσεν Ἀχαιούς,
Οὔ σέ γ' ἔπειτα ἴδον, κούρη Διός, οὐδ' ἐνόησα
Νηὸς ἐμῆς ἐπιβᾶσαν, ὅπως τί μοι ἄλγος ἀλάλκοις.
Ἀλλ' αἰεὶ φρεσὶν ἧσιν ἔχων δεδαϊγμένον ἦτορ
Ἠλώμην, εἰὼς μὲ θεοὶ κακότητος ἔλυσαν·
Πρίν γ' ὅτε Φαιήκων ἀνδρῶν ἐν πίονι δήμῳ
Θάρσυνάς τ' ἐπέεσσι, καὶ ἐς πόλιν ἤγαγες αὐτή.
Νῦν δέ σε τῷδε πατρὸς γουνάζομαι, οὐ γὰρ οἴω
Ἠπείρου γε τόσον γε θεὴν ἐνιναιετάοντες
Ἔμμεναι, ἀλλά τις ἔσκε θεῶν, οἳ Ὀλύμπια δώματ' ἔχουσιν,
Ἥκειν εἰς Ἰθάκην εὐδείελον, ἀλλά πιν ἄλλην
Γαῖαν ἀναφρέφομαι· σὲ δὲ κερδομέουσαν οἴω
Ταῦτ' ἀγορεύεμεναι, ἵνα μὰς φρένας ἠπεροπεύσῃς.
Εἰπέ μοι, εἰ ἐτεόν γε φίλην ἐς πατρίδ' ἱκάνω;
Τόνδ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη,
Αἰεί τοι τοιοῦτον ἐνὶ φρεσὶ νόημα·
Τῷ σε κατὰ δύναμαι προλιπεῖν δύσφρονα ἐόντα,
Οὕνεκ' ἐπιστήμων τ' ἐσσὶ καὶ ἀγχίνοος, καὶ ἐχέφρων.
Ἀσπασίως γάρ κ' ἄλλος ἀνὴρ ἀλαλήμενος ἐλθὼν

Huic respondens, locutus est prudens Ulysses:
" Difficile est te, Dea, cognoscere homini occurrenti,
" Licet valdè scienti; te enim ipsam cuilibet assimilas.
" Hoc autem ego certò scio, quod mihi antèa benigna eras,
" Quamdiù in Trojâ pugnabamus filii Achivorum:
" At postquam Priami civitatem diripuimus altam,
" Conscendimúsque naves, Deúsque dissipavit Achivos,
" Non te postea vidi, filia Jovis, neque animadverti
" Navem meam ascendentem, ut mihi dolorem averteres,
" Sed semper mentibus propriis habens confectum cor
" Erravi, quousque me dei malo solverunt:
" Priusquam quandò in Phæacum virorum in ubere populo
" Confirmásti verbis, & in civitatem duxisti ipsa.
" Nunc igitur te per patrem supplex oro; non enim puto
" Venisse in Ithacam conspicuam, sed aliquam aliam
" Terram obversor; téque illudendentem puto
" Hæc dicere, ut meam mentem deciperes;
" Dic mihi, an verè dilectam in patriam veni?
Huic respondit demùm dea cæsiocoulis Minerva,
" Semper tibi talis in præcordiis cogitatio:
" Propterèa & te non possum derelinquere afflictum existentem,
" Quoniam facundus es, & ingeniosus & prudens.
" Libentèr enim alius vir errans reversus,

ΣΧΟΛΙΑ.

313. Σὲ γὰρ αὐτίκα πάντα εἰσκύρει.] Ὑποτυπώσεις, ὅτι σὺ τοῖς Φαίαξι καὶ παρθένῳ καὶ ἀνδρὶ ὁμοιωθεῖσα παρῆσθα καὶ οὐκ αὐτόν.

314. Ἠπία.] Πρᾶον.

315. Πολεμιζόμεν.] Ἐπολεμοῦμεν.

321. Ἔλυσαν.] Ἐλυτρώσαντο.

330. Τοιοῦτο νόημα.] Εὐξεπαπάτητον· ἀντὶ δὲ, σὺν εὐξεπαπάτητον, ἢ ὃ ἀσύνετον.

331. Περλιπεῖν.] Ἐάσαι.

332. Ἐπιστήμων.] Φρόνιμον, καὶ λόγιον, παρὰ τὸ ἐπίσταμαι. Ἀγχίνοος.] Περὶ τὸ νοῆσαι ταχύς. Ἐχέφρων.] Σώφρων.

333. Ἀλαλήμενος ἐλθών.] Ἀπὸ πλάνης παραγινόμενος.

NOTÆ.

315. Ἕως σὺν Τροίῃ) *Amphibrachys*, pro *Dactylo*, de quâ re diximus, ad δ'. v. 90. aliàs poterat legi, εἴως σὺν Τροίῃ. Minimè autem εἴως σὺν, ut *Aldina*, & aliæ *Vett.*

NOTÆ IN SCHOLIA.

330. Τοιοῦτο νόημα) Εὐξεπαπάτητον. Ità *Aloysii* MS. præterea nihil. Quæ sequuntur, in *Elzevirianâ* Editione, minimè à *Schrevelio* nobis obtruduntur, ut passim *Iliados* Editores queruntur: Extant enim in *Aldinâ*, *Bedrotianâ*, *Hervagianâ*, *Morrhii*, *Parisiis*, &c. τὸ σωφρόν, tantum in *ἀσύνετον*, emendo.

333. Ἀλαλήμενος ἐλθών) Vid. *Etymolog.* M. v. & in v. Ἀλάλημαι.

VARIÆ LECTIONES.

315. Ἕως σὺν) γρ. εἴως σὺν, & εἴως σὺ, vid. Not. in *Textum*.

324. Πατρὸς] γρ. Ζηνὸς, idem: cùm *Jupiter* sit *Minervæ* pater. Vid. Hymn. *Ven.* v. 131.

Ἴετ'

Ἴετ' ἐνὶ μεγάροις ἰδέειν παῖδάς τ', ἄλοχόν τε·
Σοὶ δ' οὔπω φίλον ἐστὶ δαήμεναι, ὐδὲ πυθέσθαι,
Πρίν γέ τιν σῆς ἀλόχου πρήσσειαν, ἥτις τοι αὔτως
Ἧσται ἐνὶ μεγάροισιν· ὀιζυραὶ δέ οἱ αἰεὶ
Φθίνουσιν νύκτες τε καὶ ἤματα δακρυχέουση.
Αὐτὰρ ἐγὼ τὸ μὲν οὔποτ' ἀπίστεον, ἀλλ' ἐνὶ θυμῷ
Ηἴδη, ὁ νοσφίσαι ὀλέσας ἄπο πάντας ἑταίρους.
Ἀλλά τοι οὐκ ἐθέλησα Ποσειδάωνι μάχεσθαι
Πατροκασιγνήτῳ, ὅς τοι χόλον ἔνθετο θυμῷ,
Χωόμενος, ὅτι οἱ ἑὸν φίλον ἐξαλάωσας.
Ἀλλ' ἄγε τοι δείξω Ἰθάκης ἕδος, ὄφρα πεποίθῃς.
Φόρκυνος μὲν ὅδ' ἐστὶ λιμήν, ἁλίοιο γέροντος·
Ἦδε δ' ὅπι κρατὸς λιμένος τανύφυλλος ἐλαίη·
Ἄγχόθι δ' αὐτῆς ἄντρον ἐπήρατον, ἠερόεσσα,
Ἱερὸν Νυμφάων, αἳ Νηϊάδες καλέονται.
Τῦτο δέ τοι σπέος εὐρὺ κατηρεφές, ἔνθα σὺ πολλὰς
Ἕρδεσκες Νύμφῃσι τελήεσσας ἑκατόμβας·
Τῦτο δ' Νήριτόν ἐστιν ὄρος, καταείμενον ὕλῃ.
Ὣς εἰπῦσα θεὰ σκέδασ' ἠέρα· εἴσατο δ' αἶψα.
Γήθησέν τ' ἄρ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς,
Χαίρων ἠ γαίῃ· κύσε δ' ἠπείροιο ἄρουραν·
Αὐτίκα δὴ Νύμφῃς ἠρήσατο χεῖρας ἀνασχών,
Νύμφαι Νηϊάδες, κοῦραι Διός, οὔποτ' ἔγωγε

" Cuperet in ædibus videre filiosque uxoremque:
" Tibi verò nondum gratum est scire, neque quærere;
" Antequam tuæ uxoris periculum feceris, quæ tibi negligitur
" Sedet in ædibus, luctuosæ verò ei semper
" Pereunt noctes & dies lacrymanti.
" At ego hoc quidem nunquam non credidi, sed in animo
" Sciebam, quòd rediturus esses, perditis omnibus sociis;
" Sed tui causâ nolui Neptuno obsistere
" Patruo, qui iram contrà te induxerat in animum,
" Iratus, quòd ei filium dilectum excæcâsti.
" Verùm agè tibi ostendam Ithacæ solum, ut credas.
" Phorcynis quidem hic est Portus marini senis;
" Hæc itidem in vertice portûs patula Oliva;
" Propè verò ipsam Antrum altum obscurum,
" Sacrum Nympharum, quæ Naiades vocantur;
" Hæc item spelunca lata, contecta, ubi tu multas
" Sacrificabas Nymphis perfectas hecatombas·
" Hic autem Neritus est mons indutus sylvâ.
Sic fata, Dea dissipavit nebulam; apparuit autem terra;
Lætatúsque est tandem patiens divinus Ulysses,
Gaudens suâ terrâ, osculatúsque est almam tellurem.
Statim utique Nymphis supplicavit manibus sublatis,
" Nymphæ Naiades, filiæ Jovis, nunquam ego

ΣΧΟΛΙΑ.

335. Φίλον.] Νῦν, ἀντὶ τοῦ, ἀφίλιμον.
340. Ὅπ νοσφίσ.] Ὅτι ἐπανῆλθοις.
344. Πεπο ίθῃς] Πεπιστώσῃς.
349. Κατηρεφές.] Σκιερὸν, καλῶς κεκαλυμμένον, καὶ κατάστεγον.
351. Νήριτον.] Ὄρος Ἰθάκης, ἀντικρὺ τῆς Ἠπείρου. Καταείμενον.] Κατακεκοσμημένον.

NOTÆ.

340. Ὀλέσας ἄπο) Retraho *Accentum*, quòd τὸ ἀπὸ suo Verbo postponatur, cui præponendum esset; nam pro ἀπολέσας ponitur.

345. Φόρκυνος μὲν ὅδ' ἐστὶ λιμήν) Prolixior suprà, v. 96. Descriptio, hìc paulò brevior, ut *Ulyssi* scienti facta; *Eustath.* tol. 519. lin. 31. Ὅτι ἐπίτηδες ἐδὸς κατεσκήπτεσε, ὡς ὡδὶ εἰδότι, τὸ, Φόρκυνος μὲν ὅδ' ἐστὶ λιμὴν ἁλίοιο γέροντος Ἦδε δ' ἐπὶ κρατὸς λιμένος τανύφυλλος ἐλαίη· Ἄγχόθι δ' αὐτῆς ἄντρον ἐπήρατον, ἠερόεσσα, Ἱερὸν νυμφάων, αἳ Νηϊάδες καλέονται. Οὗτοι δὲ οἱ δύο στίχοι εἴν τισι τῶν Ἀντιγεφύρων ἐκλείπουσι· τὸ μέντοι ἰδιάζον, ἐν ἅπασι κεῖται. Τῦτο δέ τι ἀστεῖον ἐστὶ, &c.

347. Ἄγχόθι δ' αὐτῆς ἄντρον) Distichon hoc in nonnullis Exemplaribus desiderari testatur *Eustathius*, ut in Notis præcedentibus.

355. Αὐτίκα δὴ Νύμφῃς) Τὸ δὴ, in *Cæsurâ*, vi *Toni* sui, & ante *Liquidam* producitur, ut sæpe aliàs. At δὴ multò meliùs hìc legitur.

VARIÆ LECTIONES.

336. Πρίν γέ τιν) γρ. πρίν γ' ἔπ.
340. Ὀλέσας ἄπο) γρ. ὀλέσας ἀπό.
342. Χόλον) γρ. κότον, *Eustath.* fol. 519. lin. 28.
351. Νήριτον) γρ. Νήρικον, ut ad ι'. v. 22.
355. Δὴ) γρ. δ', ut Not. in *Textum*.

Ὄψεσθ' ὔμμ' ἐφάμην· νῦν δ' εὐχωλῆς ἀγανῆσι
Χαίρετ'· ἀταρ καὶ δῶρα διδώσομεν, ὡς τοπάρος περ,
Αἴκεν ἐᾷ τοι φῶφρων μὲ Διὸς θυγάτηρ ἀγελείη
Αὐτόν τε ζώειν, καί μοι φίλον υἱὸν ἀέξῃ.
Τόνδ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη,
Θάρσει, μή σοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
Ἀλλ' ἄγε, χρήματα μὲν μυχῷ ἄντρου θεσπεσίοιο
Θείομεν αὐτίκα νῦν, ἵνα περ τάδε τοι σόα μίμνῃ·
Αὐτοὶ δ' ὀφραζώμεθ', ὅπως ὄχ' ἄριστα γένηται.
Ὣς εἰπῦσα, θεὰ δῦνε σπέος ἠερόειδὲς,
Μαιομένη κευθμῶνας ἀνὰ σπέος· αὐτὰρ Ὀδυσσεὺς
Ἄσσον πάντ' ἐφόρει χρυσὸν καὶ ἀτειρέα χαλκὸν,
Εἵματά τ' εὐποίητα, τά οἱ Φαίηκες ἔδωκαν.
Καὶ τὰ μὲν εὖ κατέθηκε· λίθον δ' ἐπέθηκε θύρῃσι
Παλλὰς Ἀθηναίη, κούρη Διὸς Αἰγιόχοιο.
Τώδε καθεζομένω, ἱερῆς ἀπὸ πυθμένι ἐλάης,
Φραζέσθην μνηστῆρσιν ἀφραδίῃσιν ὄλεθρον.
Τοῖσίδε μύθων ἦρχε θεὰ γλαυκῶπις Ἀθήνη,
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Φράζου, ὅπως μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσῃς,
Οἵ δή τοι τρίετες μέγαρον κατακοιρανέουσιν,
Μνώμενοι αἰπεινὴν ἄλοχον, καὶ ἕδνα διδόντες.
Ἡ δὲ σὸν αἰεὶ νόστον ὀδυρομένη κατὰ θυμὸν,

" Visurum *me* vos dicebam: nunc votis humilibus
" Salvete: at & dona dabimus, ſicuti anteà,
" Si ſinet prompta Jovis filia prædatrix
" Ipſumque vivere, & mihi charum filium augebit.
Hunc rurſus affata eſt Dea cæſia-oculis Minerva,
" Confide, ne te hæc in præcordiis tuis ſolicitent.
" Verùm age, fortunas quidem in intimo antri divini *receſſu*
" Ponamus ſtatim nunc, ubi utique hæc tibi ſalva maneant:
" Ipſi demùm conſultemus, quo pacto optime fiat.
Sic loquuta Dea intravit ſpeluncam ſubobſcuram,
Quærens latibulum per ſpeluncam; at Ulyſſes
Propiùs omnia portavit, aurum & ſolidum æs,
Veſtéſque benè-elaboratas, quas ei Phæaces dederant.
Et hæc quidem probè diſpoſuit; lapidemque impoſuit foribus
Pallas Minerva, filia Jovis Ægiochi.
Hi adeò ſedentes ſacræ apud radicem olivæ,
Moliebantur procis inſolentibus mortem.
Hiſce verò verba incepit Dea cæſia-oculis Minerva,
" Generoſe Laërtiade, prudens Ulyſſes,
" Conſidera, quomodo procis impudentibus manus inferas,
" Qui jam tibi triennium per domum dominantur,
" Ambientes divinam uxorem & dona dantes.
" Illa verò tuum ſemper reditum lugens in animo,

Σ Χ Ο Λ Ι Α.

357. Ὄψεσθ' ὔμμε.] Ὑμᾶς. Ἀγανῆσι.] Περσαγαλίδι ἢ πᾶσαι δωσιδώραις.
359. Ἐᾷ.] Συγχωρήσῃ.
360. Ἀέξῃ.] Αὐξηθῆναι ποιήσῃ.
364. Σόα.] Σῶα, ὑγιῆ. Μίμνῃ.] Μένῃ.
366. Ἠερόειδές.] Νῦν, καθαρὸν ἀέρα ἔχον.
367. Μαιομένη.] Ἐρευνῶσα, ζητοῦσα. Κευθμῶνας.] Τὰς κοιλάδας· ἢ, τὰς κοίλας πέτρας.
368. Ἐφόρει.] Ἔφερε, παρεκόμιζεν.
373. Φραζέσθην.] Ἐβουλεύοντο.
376. Ἐφήσῃς.] Ἐπιβάλῃς.
378. Μνώμενοι.] Μνηστεύοντες. Ἀντιθέλων.] Ἴσα καὶ ὁμοίαν θεοῖς καὶ ἀριστῶν.

Ν Ο Τ Æ.

372. Τώγε καθεζομένω ἱερῆς παρὰ πυθμένι ἐλαίης) Rectè Poeta, ut Omnia, *Minervam* facit, ſub *Olivâ* ſedentem; quam *ipſâ* quoque vocat: quòd nempè illa Arbor *Minervæ* ſit Sacra & ſemper Virens, quæ licet in *Athenarum* Acropoli, à *Medis* quondam exuſta, refloruit poſteà, teſte *Herodoto*,——De quibus omnibus & Nos olim ad *Euripidis* Ion. v. 1433. & v. 1435. Rectè quoque *Olivam*, *Providentiæ* Symbolum, ad Antrum Nympharum ponit, hujus *Mundi* Symbolum; quià *Mundus* eſt Germen, & Tutela Divinæ Providentiæ, δηλονότι τὸν αὐτοματισμὸν τινῶν ἐκ τύχης ἀλόγου ἀποτίκτοντα, ἀλλὰ φύσεως τοιᾶσδε καὶ σοφίας θείας. De quâ re *Porphyrius*, ut ſuprà, v. 103. & *Cæl. Rhodig.* l. 12. c. 19.

Variæ Lectiones.

372. Τώδε) γρ. τώγε, quod paulò melius.
377. Μέγαρον κατακοιρανέουσι) γρ. μέγαρον κάπα κοιρανέουσι.

Πάντας

Πάντας μὲν ῥ' ἔλπῃ; ἐ ὑπίσχεῖ ἀνδρὶ ἑκάστῳ,
Ἀγγελίας προϊεῖσα· νόος δέ οἱ ἄλλα μενοινᾷ.
Τὼ δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Ὦ πόποι, ἦ μάλα δὴ Ἀγαμέμνονος Ἀτρεΐδαο
Φθίσεσθ' αἰσχρὸν οἶτον ὑπὸ μεγάροισιν ἔμελλον,
Εἰ μή μοι σὺ ἕκαστα, θεά, κατὰ μοῖραν ἔειπες.
Ἀλλ' ἄγε μήτιν ὕφηνον, ὅπως ἀποτίσομαι αὐτούς·
Πάρ δέ μοι αὐτὴ στῆθι, μένος δέ με πολλὸν ἐνεῖσα,
Οἷον, ὅτε Τροίης λύομεν λιπαρὰ κρήδεμνα.
Αἴκε μοὶ ὣς μεμαυῖα παρασταίης, Γλαυκῶπι,
Καί κε τριηκοσίοισιν ἐγὼν ἄνδρεσσι μαχοίμην,
Σὺν σοί, πότνια θεά, ὅτε μοὶ παρὰ σὸν φίλον ἦτορ.
Τόν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη,
Καὶ λίην τοι ἔγωγε παρέσομαι, ὅδέ με λήσεις,
Ὁππότε κεν δὴ ταῦτα πονώμεθα· καί τιν' οἴω
Αἵματί τ', ἐγκεφάλῳ τε, παλαξέμεν ἄσπετον οὖδας,
Ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν.
Ἀλλ' ἄγε σ' ἄγνωστον τεύξω πάντεσσι βροτοῖσι·
Κάρψω μὲν χρόα καλὸν ἐπὶ γναμπτοῖσι μέλεσσι,
Ξανθὰς δ' ἐκ κεφαλῆς ὀλέσω τελαμῶνα, ἀμφὶ δὲ λαῖφος
Ἕσσω, ὅ κεν στυγέῃσιν ἰδὼν ἄνθρωπος ἔχοντα.

"Omnibus quidem spem dat, & pollicetur unicuique
"Nunciis præmissis; mens autem ei alia versat.
Huic respondens, locutus est prudens Ulysses,
"Dii Boni! Certè jam omninò Agamemnonis Atridæ
"Periturus malâ morte in ædibus eram,
"Nisi mihi tu quæque, Dea, opportunè dixisses.
"Verùm age consilium texe, quomodo puniam ipsos:
"Apud me quoque ipsa asta, animum peraudacem immittens,
"Qualem, quando Trojæ solvimus magna mœnia:
"Si mihi sic animosa astiteris, Minerva,
"Et cum trecentis ego viris pugnarem,
"Una Tecum, venerabilis dea, quandò me prompta adjuvares.
Huic tandem respondit Dea cæsia Minerva,
"Et valdè tibi ego adero, neque me latebis,
"Cùm hæc jam struxerimus, & aliquem spero
"Sanguinéque, cerebróque perfusurum magnum pavimentum,
"Virorum procorum, qui tibi fortunas edunt.
"Verùm age te incognitum faciam omnibus hominibus:
"Aretaciam quidem cutem pulchram in flexibilibus membris;
"Flavosque ex capite dolebo crines, circumque pallium
"Induam, quod aversetur conspicatus quilibet habentem:

ΣΧΟΛΙΑ.

381. Προϊεῖσα.] Προπέμψασα.
386. Ἀποτίσομαι.] Τιμωρίαν καὶ κόλασιν εἰσπράξομαι.
387. Πολυφρασές.] Τολμηρόν.
388. Λύομεν.] Καπλύομεν. Λιπαρά.] Ἐκδηλα, λαμπρά. Κρήδεμνα.] Μεταφορικῶς, τὸ τεῖχος.
391. Πότνια.] Σεβασμία, τιμία. Ἐπαρήγοις.] Βοηθοῖς.
395. Παλαξέμεν.] Μολύναι, φύραι.
397. Ἄγνωστον.] Ἀγνώριστον. Πάντεσσι βροτοῖσι.] Πῶς ἂν ἡ Εὐρύκλεια γνοίσκοι; ἐπειδὴ χρεία αὐτῆς.
398. Κάρψω.] Μειώσω, ξηράνω.
399. Λαῖφος.] Ἱμάτιον.
400. Ἕσσω.] Ἐνδύσω. Στυγέῃσι.] Μισήσῃ, ἀποστροφῇ. Ἔχοντα.] Ἀντὶ δ, ἐνδεδυμένον.

NOTÆ.

391. Σόν σοι, πότνια θεά) Ità quidem *Florentin. Aldin. Lovanian.* &c. ut θεά, μετρουμένως efferatur; legitur & πότνα θεά, ut in Vett. *Scholiis*, *Aldina* Edit. &c. ut in Not. ad *Schol.*

NOTÆ IN SCHOLIA.

391. Σόν σοι, πότνια θεά) Πότνα, MS. *Aloysii*, & *Hervag.* & *Aldina*, & *Morrhii* Editio, quare in *Scholiis* certè vocem retinendam censeo; quoniam *Varia Lectio* ità servatur: Quam rem *Hackiani* Editores minimè advertebant, quod dicendum ad v. 282. &c. ubi pro ἐπίλαβε, quæ *Varia Lectio* in MS. *Aloys.* & Omnibus aliis *Scholiorum* Editionibus, illi ex *Textu* substituerant τὸ ἐπίλυθι.

397. Πῶς ἂν ἡ Εὐρύκλεια γνοίσκοι;) Præter quæ respondent *Scholia*, dicendum, Illam minimè ex facie agnovisse, verùm ex Plagæ ulcere, ut *Eustath.* fol. 523. lin. 1. Ἄγνωστος ὃ πᾶσι, δῆλον μὲν ἀπὸ τῆς ἰδίας αἰτίας, ἀναγνωρίζει τὸν Ὀδυσσέα ἡ τροφὸς ἀπὸ τοῦ παθόντος τοῦ μηροῦ ὃ ἦλθεν ἐκ φαντασίας.

VARIÆ LECTIONES.

391. Πότνια θεά) γρ. πότνα θεά, vid. Not. in *Textum*.

Κνυζάσω.

Κυζώσω δέ τοι ὄσσε, πάρος περικαλλέ' ἐόντε,
Ὡς ἂν ἀεικέλιος πᾶσι μνηστῆρσι φανείης,
Σῇ τ' ἀλόχῳ, ἠδὲ παιδί, τ' ἐν μεγάροισιν ἔλιπες.
Αὐτὸς δ' πρώτιστα συβώτεω εἰσαφικέσθαι,
Ὅς τοι ὑῶν ἐπίουρος· ὅμως δέ τοι ἤπια οἶδε,
Παῖδά τε σὸν φιλέει, ἠδ' ἐχέφρονα Πηνελόπειαν.
Δήεις τόν γε σύεσσι παρήμενον· αἱ δ' νέμονται
Πὰρ Κόρακος πέτρῃ, ἐπί τε κρουνῇ Ἀρεθούσης,
Ἔδουσαι βάλανον μενοεικέα, ἠδὲ μέλαν ὕδωρ
Πίνουσαι, τά θ' ὕεσσι πέφυ τραπελῆαν ἀλοιφόν.
Ἔνθα μένειν, ἠδὲ πάντα παρήμενος ἐξερέεσθαι,
Ὄφρ' ἂν ἐγὼν ἔλθω Σπάρτιν ἐς καλλιγύναικα,
Τηλέμαχον καλέουσα, τὸν σὸν φίλον υἱόν, Ὀδυσσεῦ·
Ὅς τοι ἐς εὐρύχορον Λακεδαίμονα πὰρ Μενέλαον
Ὠΐχετο, πευσόμενος μυθὸν κλέος, εἴπου ἔτ' εἴης.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Τίπτε τ' ἄρ' οἱ εἶπες, ἐνὶ φρεσὶ πάντ' εἰδυῖα;
Ἦ ἵνα πού τι κεῖνος ἀλώμενος ἄλγεα πάσχῃ
Πόντον ἐπ' ἀτρύγετον; βίοτον δέ οἱ ἄλλοι ἔδουσι.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη,

" Deformabo etiam tibi oculos antea perpulchros;
" Ut turpis omnibus procis appareas,
" Tuæ uxori & filio, quem in ædibus reliquisti.
" Ipse verò primùm subulcum pete,
" Qui tibi suùm cuslos est; nihilominùs autem tibi benè vult,
" Filiumque tuum diligit, & prudentem Penelopem.
" Invenies hunc subus assidentem: hæ verò pascuntur
" Apud Coracis petram; & ad fontem Arethusam,
" Comedentes glandem gratam, & nigram aquam
" Bibentes, quæ subus innutriunt florentem pinguedinem.
" Illic mane, & omnia assidens interroga;
" Quousque ego eam ad Spartam ornatam-mulieribus,
" Telemachum vocatura tuum dilectum filium, ô Ulysses;
" Qui in latam Lacedæmonem ad Menelaum
" Ivit, percunctaturus tuam famam, sicubi adhuc esses.
Huic respondens, loquutus est prudens Ulysses,
" Cur non ei dixisti, in præcordiis omnia sciens?
" An ut & ille errans dolores patiatur
" Pontum super immensum? fortunas interim ei alii edunt.
Huic respondit demùm Dea glaucos-oculos habens Minerva,

ΣΧΟΛΙΑ.

401. Κυζώσω.] Ῥυσώσω, ἀσχημοτέρας καὶ ῥυσὰς ποιήσω· ὑπουλοὶ εἰσὶν οἱ τὸν κεφαλυδόντων, καὶ συμπλάσω, καὶ κακώσω.

404. Συβώτεω.] Συοτρόφον, χειροβοσκόν.

405. Ὑῶν.] Χοίρων. Ἐπίουρος.] Ἐπίσκοπος, φύλαξ.

406. Ἐχέφρονα.] Ἐμφρονα, σωφρονίζω.

407. Δήεις.] Εὑρήσεις.

408. Παρ Κόρακος πέτρῃ] Οὗτος ὁ Κόραξ κωμῳδῶν, λαὸν τὸν πέτρας ποιῶν, ἐπλούτησε· καὶ ἡ μήτηρ αὐτοῦ Ἀρέθουσα ἰαμβικῶς ἀπήγξατο. Ἀρέθουσαι ἢ τίσασαι, ὡς Συρακούσῃ, ὡς Σμύρνῃ, ὡς Χαλκίδι, καὶ ὡς Ἰθάκῃ. Ἀρεθούσῃ.] Ἀρέθουσα, κρουνὴ Ἰθάκης, καὶ Ἄργους.

410. Ἀλοιφόν.] Λίπος, πιμελήν.

411. Μίνειν.] Ἀντὶ τοῦ, μένε.

413. Καλλίγυναικα.] Καλέσαι ὀφείλουσα.

NOTÆ.

409. Ἔδουσι βάλανον) Huc refer *Ælian.* Animal. l. 5. c. 45.

NOTÆ IN SCHOLIA.

408. Ἀρέθουσαι ἢ τίσασαι) Nullum hæc habent vestigium in *Aloysii* MSto. nec tamen ideò *Schrevelii* dicendum. Nam Tres prædictæ Editt. habent, & ex *Eustathio* sumpta sunt, vel *Eustathius* potiùs hinc hausit. Ità enim ille, fol. 524. lin. 34. Κόραξ ἢ ὅτος ὢν ἐγχωρίου ἀνὴρ, ὃς Ἀρεθούσης γυναικὸς τοῦ ἐκεῖ· ὃς δυνάμων λαῶν ἐν Ἰθάκῃ, καὶ κρημνῶ ἰσχέη, καὶ πίθησιν· ἡ δὲ μήτηρ αὐτοῦ λύπῃ ἐληθεῖσα ἐπί τινα κρήνην, ἀπήγξατο. ἐσπεύδην δὲ μὴ τὸ μητρὸς, Ἀρέθουσα κρήνη ἐκαλεῖτο, λαὸν δὲ ὃ υἱὸς, Κόραξ πέτρα· ἧς ὁ ἐντόπιος, Κορακοπέλεπες· ἔστι δὲ, φασὶν, Ἀρέθουσα ἐν Σμύρνῃ, καὶ ἐν Χαλκίδι τῇ καθ' Εὔβοιαν, καὶ ἐν Συρακούσαις. Stephan. καὶ πόλεων, Κόρακος πέτρα, τόπος ἐν Ἰθάκῃ, Ὅμηρος· ὁ τοιοῦτος οἰκῶν, Κορακοπετραῖος. Contrà quod *Eustathius*, suprà, Κορακοπέλεπες, quod Notandum.

VARIÆ LECTIONES.

419. Ἔδουσι) γρ. ἔδωσι.

Μὴ δή τοι κεῖνός γε λίην ὀφθύμιος ἔστω·
Αὐτὴ μὲν πόμπευον, ἵνα κλέος ἐσθλὸν ἄροιτο,
Κεῖσ' ἐλθών· ἀτὰρ ἔμπης ἔχει πόνον· ἀλλὰ ἔκηλος
Ἧται ἐν Ἀτρείδαο δόμοις, πολλὰ δ' ἄσπετα κεῖται.
Ἦ μὰν μὲν λοχόωσι νέοι σὺν νηὶ μελαίνῃ,
Ἰέμενοι κτεῖναι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι.
Ἀλλὰ τά γ' ἐκ οἴω, πρὶν καί τινα γαῖα καθέξει
Ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν.
Ὣς ἄρα μὲν Φαμένη ῥάβδῳ ἐπεμάσσατο Παλλὰς Ἀθήνη·
Κάρψε μὲν οἱ χρόα καλὸν ὑπὲρ γναμπτοῖσι μέλεσσι,
Ξανθὰς δ' ἐκ κεφαλῆς ὄλεσε τρίχας, ἀμφὶ δὲ δέρμα
Πάντεσσιν μελέεσσι παλαιῷ θῆκε γέροντος.
Κνύζωσεν δέ οἱ ὄσσε, πάρος περικαλλέ' ἐόντε.
Ἀμφὶ δέ μιν ῥάκος ἄλλο κακὸν βάλεν, ἠδὲ χιτῶνα,
Ῥωγαλέα, ῥυπόωντα, κακῷ μεμορυγμένα καπνῷ.
Ἀμφὶ δέ μιν μέγα δέρμα ταχείης ἔσσ' ἐλάφοιο
Ψιλόν· δῶκε δέ οἱ σκῆπτρον καὶ ἀεικέα πήρην,
Πυκνὰ ῥωγαλέην· ἐν δὲ τρόφος ἦεν ἀορτήρ.
Τὼ γ' ὡς βουλεύσανθε διέτμαγον· ἡ μὲν ἔπειτα
Εἰς Λακεδαίμονα δῖαν ἔβη μετὰ παῖδ' Ὀδυσῆος.

" Nè jam tibi ille valdè curæ sit;
" Ipsa illum misi, ut famam bonam adipiscatur
" Illuc iens; at nullum habet dolorem; sed quietus
" Sedet in Atridæ ædibus, multa enim ei adsunt.
" Certè quidem illi insidiantur juvenes cum navi nigrâ;
" Cupientes interficere, antequam in patriam terram veniat,
" Sed hæc non puto, potiùs & aliquem terra detinebit
" Virorum procorum, qui tibi fortunas devorant.
Sic igitur ipsum alloquens virgâ tetigit Minerva:
Siccavit quidem ei cutem pulchram in flexibilibus membris;
Flavosque ex capite delevit crines, circumque pellem
Omnibus membris antiqui posuit senis.
Deformavit quoque ei oculos antè pulchros.
Circùm ipsum lacernam aliam malam injecit, & interulam.
Fractas, sordidas, malo conspurcatas, fumo.
Circumque ipsum magnam pellem velocis induit cervi
Depilem: deditque ei baculum & indecentem sacculum
Crebris locis rimosum; inerátque tortum lorum.
Quùm hi ità consultâssent, separati sunt: hæc quidem postèa
In Lacedæmonem divinam ivit ad filium Ulyssis.

ΣΧΟΛΙΑ.

421. Ἐνθύμιος.] Διὰ φρενῶδες.
422. Πόμπευον.] Παρέπεμπον.
423. Πόνον.] Νῦν, ἀλγηδόνα.
429. Ἐπεμάσσατο.] Καθήψατο.
430. Κάρψεν.] Ἐξήρανεν.
435. Ῥωγαλέα.] Διεῤῥωγότα. Μεμορυγμένα.] Μεμολυσμένα, πεφυρμένα.
438. Πυκνὰ ῥωγαλέην.] Ἤτοι σωτηρίας ἔχουσα ῥωγάδας, ἢ πολλῶν ῥησμάτων πεπληρωμένην, ἢ σωτηρισμένην. Στρόφος.] Ἐκ χοινίκων ἐστραμμένος, ἢ ἱμὰς ἐστρεμμένος. Ἀορτήρ.] Ἐξ οὗ ἀπῆρται· ὅ ἐστι, παρεκρέματο.

NOTÆ.

429. Ἐπεμάσσατο) Ità, pro ἐπεμάσσατο, emendo; vid. ad *Iliad.* ε'. v. 564.

435. Μεμορυγμένα) *Suidas*, v. Μορύξαι· Μορύξαι, τὸ μολῦναι· Ὅμηρος γῦν, τὸ μεμολυσμένον, μεμορυγμένος φησίν.

439. Τὼ γ' ὡς βουλεύσανθε διέτμαγον) Idem *Iliad.* α'. v. 531. *Ibid.* Ἡ μὲν ἔπειτα Εἰς Λακεδαίμονα δῖαν ἔβη μετὰ παῖδ' Ὀδυσῆος) Ex hoc Versu, sequens *Rhapsodia*, licet Initium non capiat, quoniam tum vix finem hæc rectè faceret, per ἀναμνησιν tamen rectè Initium capere judicanda; ut sit Ordo, Τὼ γὰρ διέτμαγον, ἡ μὲν ἔπειτα· Αὐτὰρ ὁ ἐν λιμένι, κ.λ. Si tamen ità visum esset *Criticis*, hæc *Rhapsodia* congruè finem posset habere, cùm ἀορτὴρ, & Sequens, initium, cùm τὸν, Τὼ γ' ὡς, &c.

VARIÆ LECTIONES.

429. Ἐπεμάσσατο) γρ. ἐπεμάσσατο, vid. N. in *Text.*
435. Ῥυπόωντα) γρ. ῥυπώντα, *H. Steph.*
Ibid. Μεμορυγμένα) γρ. μεμορυχμένα.
439. Διέτμαγον) γρ. διέτμαγεν, vid. ad *Il.* α'. v. 531.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΙΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Ξ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Ξ'.

Ξ Ενισμὸς Ὀδυσσέως γίνε⟩ ἐν τῇ ἀγορᾷ παρ' Εὐμαίῳ, τῷ ὑφορβῷ· καὶ ποικίλη τις ὁμιλία.

Ἄλλη ὑπόθεσις.

Ὁ Δυσσέως παρουσία πρὸς τὸν Εὔμαιον, καὶ λόγοι γίνον⟩, ἀναπλάττοντος ἑαυτὸν, καὶ πράξεις τινὰς ἐπῃρμένας.

Ἐπιγραφή.

Ὀδυσσέως πρὸς Εὔμαιον ὁμιλία.

Ἄλλη.

* Vid. infrà, ad v. 31. Not. in *Textum*.

* Ἡ πρὸς τὸ συβώτην Ὀδυσσέως ἀνάβασις.

Ἄλλως.

Εἶ δ' Ὀδυσῆα ξείνισεν Εὔμαιος ἀγρῷ ὑφορβός. Lib. XIV.

Αὐταὰρ ὁ ἐκ λιμένος πρὸς ὄρεος τετιηότα νῆα,
Χῶρον ἂν' ὑλήεντα δι' ἄκριας· ἦ οἱ Ἀθήνη
Πέφραδε δῖον ὑφορβὸν, ὃς οἱ βιότοιο μάλιστα
Κήδετο οἰκήων, οὓς κτήσατο δῖος Ὀδυσσεύς.
Τόνδ' ἄρ' ἐνὶ προδόμῳ εὗρ' ἥμενον· ἔνθα οἱ αὐλὴ
Ὑψηλὴ δέδμητο, περισκέπτῳ ἐνὶ χώρῳ,

AT hic ex portu ingressus est asperam semitam,
Locum per sylvosum, per juga, quâ ei Minerva
Dixerat, nobilem *esse* subulcum, qui ei fortunas maximè
Curabat famulorum, quos acquisierat divinus Ulysses:
Hunc in vestibulo invenit sedentem, ubi ei villa
Alta ædificata erat, circumspicuo in loco,

Σχόλια.

1. Προσίβη.] Προσῆλθεν.

2. Δι' ἄκριας.] Καθὰ τὰς ἀκρωρείας.

3. * Δῖον.] Νῦν, * τὸν συγγενίσασθαι. Ὑφορβόν.] Χοιροβοσκόν.

5. Προδόμῳ.] Τῇ πρὸ τῆς οἰκίας.

Notæ.

V. 3. Δῖον ὑφορβόν) Ὅτι ὁ Ποιητὴς, σεμνύνων τὸν ὑφορβὸν Εὔμαιον, νῦν δῖον καλεῖ, ποτὲ καὶ ὄρχαμον ἀνδρῶν. *Eustathius* ferè ad Eminentiam inter Servos refert, fol. 526. & σπεύδων πρὸς τὰ δισπούλικα πράγματα, ἢ φιλοδισπουλίαν, καὶ ἀγαθὸν ἦθος. Verùm addo Ego & Generis nobilitatem; Regis enim erat filius, ut patet, *Odyss.* o'. v. 412: quod miror latuisse *Eustathium*; Hoc tantùm moneo, nè φιλομήτῃ Lectori desit Argumentum, ad obturandum os *Homeri* obtrectatoribus: Regis enim filius, licet Captivus & Servus, est nobilis. Addo itaque & hoc *Scholion*, * Δῖον) Νῦν, τὸν συγγενίσασθαι.

Notæ in Scholia.

V. 3. * Τὸν συγγενίσασθαι, ex *Aloysii* MS.

Variæ Lectiones.

V. 1. Ὁ) γρ. ὅγ', *Dionys. Halicarnass.* Edit. *Hudson.* fol. 58.

6. Περισκέπτῳ ἐνὶ χώρῳ) γρ. καταρυχείσῃ λίθοισι, *Eustath.* fol. 527. lin. 2. & lin. 34. nec tamen *H. Steph.* advertebat.

Καλὴ

Καλή τε, μεγάλη τε, φειδρομος· ἣν ῥα συβώτης
Αὐτὸς δείμαθ' ὕεσσιν, ἀποιχομένοιο ἄνακτος,
Νόσφιν δεσποίνης, ἠ Λαέρταο γέροντος,
Ῥυτοῖσιν λάεσσι, καὶ ἐθείκωσεν ἀχέρδῳ·
Σταυροὺς δ' ἐκτὸς ἔλασσε διαμπερὲς ἔνθα καὶ ἔνθα,
Πυκνοὺς καὶ θαμέας, τὸ μέλαν δρυὸς ἀμφικεάσας.
Ἐντοσθεν δ' αὐλῆς συφεοὺς δυοκαίδεκα ποίει
Πλησίον ἀλλήλων, θύρας συσίν· ἐν δ' ἑκάστῳ
Πεντήκοντα σύες χαμαιευνάδες ἐρχατόωντο,
Θήλεαι τοκάδες· τοὶ δ' ἄρσενες ἐκτὸς ἴαυον,
Πολλὸν παυρότεροι· τοὺς γὰρ μινύθεσκον ἔδοντες
Ἀντίθεοι μνηστῆρες· ἐπεὶ προφίαλλε συβώτης
Αἰεὶ ζαζεφέων σιάλων τ' ἄειρον ἁπάντων·
Οἱ δ' περικόσιοί τε καὶ ἑξήκοντα πέλοντο.
Παρ δ' κύνες, θῆρσιν ἐοικότες, αἰὲν ἴαυον
Τέσσαρες, οὓς ἔτρεφε συβώτης, ὄρχαμος ἀνδρῶν.
Αὐτὸς δ' ἀμφὶ πόδεσσιν ἑοῖς ἐρέεινε πέδιλα,
Τάμνων δέρμα βόειον, ἐϋχροές· οἱ δὲ δὴ ἄλλοι

Pulchráque, magnáque, quæ circumiri poterat; quam ſubulcus
Ipſe ædificaverat ſuibus, abſente rege,
Sine dominâ, & Laërte ſene,
Advectis lapidibus, & cinxerat ſepe ſpinosâ:
Paliſque extrà adegit prorſus hinc & hinc,
Denſos & crebros, nigro robore ſciſſo;
Intra verò hanc villam ſuilia duodecim fecerat
Propè inter ſe, quaſi cubilia ſuibus, in ſingulis autem
Quinquaginta ſues humi-jacentes continebantur
Fœminæ fœtæ; mares etenim foris dormiebant,
Multò pauciores, hos enim minuebant comedentes
Impii proci; quoniam mittebat ſubulcus
Semper ſaginatorum altilium optimum omnium:
Hi tamen trecentique & ſexaginta erant.
Juxtáque Canes, Leonibus ſimiles, ſemper cubabant
Quatuor, quos nutriverat ſubulcus princeps virorum.
Ipſe autem circa pedes ſuos aptabat calceamenta
Incidens pellem bovinam pulchricolorem; aliique jam

ΣΧΟΛΙΑ.

7. Περίδρομον.] Περιοδυτὴ, γειτονιας μὴ ἔχουσα τὰς ἐμποδίζουσι τῷ βουλομένῳ φειδρομεῖν καὶ περιελθεῖν αὐτήν.

10. Ῥυτοῖσι λάεσσι.] Ἐλκυστοῖς, μεγάλοις, καὶ μὴ δυναμένοις ἀφ' χειρῶν βασταχθῆναι, λίθοις. Ἐθείκωσεν.] Ἐχαράκωσεν· θεῖκος ὁ λίγξ ἢ ἐπὶ τοῖς οἰκίαις σφάνη. Ἀχέρδῳ.] Ἄχερδός ἐστιν ἀκανθώδες φυτὸν, ἐξ ὧν τὰς αἰκίσματα ποιοῦσιν. ἔνιοι δὲ ἀπίδεσσιν τὴν ἀχέρδα ἄπιον· ἀκανθώδης δὲ καὶ αὐτὴ ἡ ἀχέρδα εἶναι.

11. Σταυρούς.] Τὰ ὀρθὰ καὶ ἀπεξυσμένα ξύλα. Ἐκτὸς ἔλασσε.] Ἔξω ἀφ' τοίχων ξύλα διήλασεν ὀρθά.

12. Τὸ μέλαν δρυός.] Ἤτοι δάσους, ἢ τὴν * σύπερειώλου, τὸ ἰγκάρδιον τ δρυός· μελαίνδρυον δὲ λέγει ἀφ' τῶν χερσῶν, ἢ τ φλοιὸν τ δρυός. Ἀμφικεάσας.] Περιχίσας.

15. Ἐρχατόωντο.] Καθιερσμένα ἦσαν.

16. Τοκάδες.] Ἐπίτοκοι.

17. Παυρότεροι.] * Ἐλάττους.

18. Ἀντίθεοι μνηστῆρες.] Νῦν, οἱ ἐναντίοι τοῖς θεοῖς. Προφίαλλε.] Προέπεμπεν.

19. Σιάλων.] Εὐτραφῶν, λιπαρῶν.

20. Πέλοντο.] Ἦσαν, ὑπῆρχον.

21. * Θήρεσσιν.] Λύκοις, ἢ λέουσιν. Ἴαυον.] Ἐκοιμῶντο.

22. Ὄρχαμος.] Νῦν, ἔξοχος ἐπὶ τῇ εὐχρωσίᾳ.

23. Ἐρέεινε.] Ἥρμοττεν.

NOTÆ.

7. Καλή τε, μεγάλη τε) Prius τὸ, τὲ producitur, in *Cæſurâ*, ante *Liquidam* & σιγμὴν. Vid. ſuprà, ad ν'. v. 355.

15. Χαμαιευνάδες) Οἱ σύες, ἀπὸ τ ἀκολουθεῖν αὐτοῖς· κοινὰ γὰρ τ ἄλλων τετραπόδων ὀρθὰ κοιμᾶται καὶ ἑστῶτα. Ἀπίων δ, ὅτι βόθρους ὀρύσσει, ἀφ' τῶν χαμαὶ κοιτῶνας. *Heſych.* Vid. ad κ'. v. 243.

21. * Θήρεσσιν) *Euſtath.* fol. 528. lin. 26. Θήρεσσιν ἐοικότες) Λύκοις τυχὸν, ἢ λέουσιν.

23. Πέδιλα) Pedulla, quæ dicimus, πέδιλα *Gracos* appellare manifeſtum eſt. *Feſtus.*

NOTÆ IN SCHOLIA.

12. * Ἐπερειώλου) Ità, pro corrupto ἐπερειώρου, lego, ex *Aloyſii* MS. *Heſychio*, & *Euſtathio*, fol. 528. lin. 6.

17. Παυρότεροι) * Ἐλάττους, ità ex *Morrhii* Editione, cæteræ male, ἐλαττότεροι, ut MS. *Aldin. Bedorot. Hervag. Elzevir.* &c.

VARIÆ LECTIONES.

12. Θαμέας) γρ. μεγάλας. *Euſtath.* fol. 527. lin. 14. *H. Steph.* *Ibid.* Μέλαν δρυός) γρ. μελάνδρυον, *Br. Schol.*

24. Εὐχροὲς) χρ. ἰὔχροον, *H. Steph.*

Ὤϊχοντ' ἄλλυδις ἄλλος, ἅμ' ἀγρομένοισι σύεσσιν
Οἱ τρεῖς· τὼ δὲ τέταρτον ἐποτρύνηκε πόλινδε,
Σῦν ἀγέμεν μνηστῆρσιν ὑφορβιάλοισιν ἀνάγκῃ,
Ὅφρ' ἱερεύσαντες κρειῶν κορεσαίατο θυμόν.
Ἐξαπίνης δ' Ὀδυσῆα ἴδον κύνες ὑλακόμωροι·
Οἱ μέν, κεκληγυῖες ἐπέδραμον· αὐτὰρ Ὀδυσσεὺς
Ἔζετο κερδοσύνῃ· σκῆπτρον δέ οἱ ἔκπεσε χειρός.
Ἔνθα κέν ὦ πρόφρων γαθμῷ ἀεικέλιον πάθεν ἄλγος,
Ἀλλὰ συβώτης ὦκα ποσὶ φαιπνοῖσι μεταπρὼ
Ἐσσυτ' ἀνὰ πρόθυρον· σκύτος δέ οἱ ἔκπεσε χειρός.
Τὺς μὲν ὁμοκλήσας στεῦεν κύνας ἄλλυδις ἄλλη
Πυκνῇσιν λιθάδεσσιν· ὁ δ' ἆψορρον ἄνακτα,
Ὦ γέρον, ἦ ὀλίγου σε κύνες διεδηλήσαντο
Ἐξαπίνης· καί κέν μοι ἐλεγχείῃ κατέχυσας.
Καὶ δέ μοι ἄλλα θεοὶ δόσαν ἄλγεά τε, στοναχάς τε.
Ἀντιθέῳ γὰρ ἄνακτι ὀδυρόμενος κὴ ἀχεύων
Ἥμην, ἄλλοισιν δ' σύας σίαλος ἀπετάλλω
Ἔδμεναι· αὐτὰρ κεῖνος ἐελδόμενός πῃ ἐδωδῆς
Πλάζεθ' ἐπ' ἀλλοθρόων ἀνδρῶν δήμου τε, πόλιν τε,
Εἴπῃ ἔπι ζώει, κὴ ὁρᾷ φάος ἠελίοιο.
Ἀλλ' ἕπεο, κλισίηνδ' ἴομεν, γέρον, ὄφρα κὴ αὐτὸς

Iverant aliò alius; cum fabulantibus fuibus
Tres; quartum autem miserat ad urbem,
Suem ducere procis superbis necessitate;
Ut mactantes, carnibus satiarent animum.
Repentè verò Ulyssem viderunt canes latratores:
Hi quidem clamantes accurrerunt; at Ulysses
Sedit astutiâ, virgáque ei excidit manu.
Tunc proprium apud fabulum indignum tulerat dolorem,
Sed fubulcus celeriter pedibus velocibus subsequens,
Cucurrit per vestibulum, coriúmque ei excidit manibus:
Et objurgans canes pepulit, aliò alium
Crebris lapidationibus; ipse verò affatus est dominum,
" O senex, certè propemodùm te canes dispersidissent
" Improviso; & mihi crimen-inhumanitatis affudisses.
" Atqui mihi alios Dei dederunt dolores gemitusque;
" *Propter* divinum enim herum lugens & dolens
" Sedeo; aliisque sues pingues nutrio
" Ad comedendum: at *ille* egens forte cibi
" Errat apud peregrinorum virorum populúmque, civitatemque,
" Sicubi adhuc vivit & videt lumen solis.
" Verùm sequere, ad fabulum eamus, senex, ut & ipse

ΣΧΟΛΙΑ.

28. Κορεσαίατο.] Κορέσωσιν. Θυμόν.] Νῦν, τὴν ἐπιθυμίαν.

29. Ὑλακόμωροι.] Ὁ μὲν Ἀρίσταρχος, ὀξύφωνοι. κρεῖττον δὲ ἀπιδιδύναι, οἱ περὶ ὑλακεῖν μεμωρημένοι, ὅ ἐστι πεπονημένοι, ἴδιον γὰρ κυνῶν τὸ ὑλακεῖν· * ἐν ἄλλοις, οἱ περὶ τὸ ὑλακτεῖν ἐστυδακόπες, ἢ ὑλακτικοί.

NOTÆ.

29. Ὑλακόμωροι) *Eustath.* fol. 528. lin. 53. Καλῶς μὲν Ἀρίσταρχος, οἱ ὀξύφωνοι· ἐπὶ γὰρ μώρου οὐ ἄλλοις ἐδηλώθη λέγειν τὸ ὀξύ· ὁ δὲ ἐξηγούμενος τὰ ὑλακόμωροι κρεῖττον ἦ, φασὶν οἱ Παλαιοὶ, ἀπιδιδύναι. Οἱ περὶ τὸν ὑλακτὸν μεμωρημένοι, ὅ ἐστι πεπονημένοι, ἐκλελυπτες καὶ πάλιν δὲ ὁ τὰ παραλήγοντες· ἢ ἐκ οἱ περὶ τὸν ὑλακτὸν καὶ φυλακτὸν ὄντες, παρὰ τὸν ὦρον, τὸν φυλακτὸν ἵνα εἶεν, ὑλακωροι, πλεονάσαντος ἦ δὲ μ'. ὑλακόμωροι. Confer *Br. Schol.* & *Etymolog.* M. in v.

31. Ἔζετο κερδοσύνῃ) *Eustath.* in locum, fol. 529. lin. 10. Φασὶ δὲ φυσικὸν βούλημα εἶναι ἀνθρώποις πρὸς ἐπιμέλειαν κυνῶν, τὸ καθῆσθαί πως, καὶ προΐεσθαι

31. Ἔζετο κερδοσύνῃ.] Φυσικὸν φησὶν βούλημα πρὸς ἐπιτροπὴν κυνῶν τὸ καθεζόμενον καὶ προΐεσθαι τὴν ῥάβδον, ὡς μὴ ἐπιπτόημενον. Κερδοσύνῃ.] Σωφρ. Ἔκπεσε.] Οὐ λέγει φόβον, ἀλλ' ἑκὼν ἔῤῥιψεν αὐτόν.

33. Μεταπρό.] Ἐπιδρομών.

34. Σκύτος.] Δέρμα, * ῥινός.

NOTÆ.

* Ità, pro ῥίν.

τὸ δὲ χρῆσιν ὅπλου, ὡς μὴ ἐπιδιδύναι· ὅθεν τοὺς κύνας αἰνίσσεσθαι τὸν θυμὸν τοῖς τοιούτοις, ὡς καὶ ἐγγίσαντάς ποτε ὀσφρησάμενος, ἔτι δὲ οἷς καὶ προσκρούσαντας ἀποδάπτειν. *Antigonus Carystius*, Histor. Mirabil. c. 28. Ἰκανῶς δὲ ὁ Ποιητὴς λέγει παρὰ πάντων ἐπιμελὲς καὶ πολυπραγμονοῦν εἶναι· ὁ γὰρ Ὀδυσσεὺς, ἐπιφερομένων αὐτῷ τῶν κυνῶν, τὸ * τῇ πρὸς τὸ συβώτιον ἀναβάσῃ, * Ἔζετο κερδοσύνῃ· σκῆπτρον δὲ οἱ ἔκπεσε χειρός· Οὐ γὰρ, φασὶν, ἂν διωκόμενός τις συγκαθῆσθαι, ἀδικεῖν τοὺς κύνας. Et *Plinius*, l. 8. c. 40. Impetus Canum & Sævitia mitigatur ab Homine, confidente humi. Confer *Br. Schol.*

NOTÆ IN SCHOLIA.

29. * Ἐν ἄλλοις, οἱ περὶ τὸ ὑλακτεῖν, ex MS. *Aloysii.*

31. Ἔζετο κερδοσυνῇ) Præter *Br. Schol.* vid. Not. in *Textum.* Suspicor autem ἐπιτεθησόμενον, vel ἐπιθησόμενον.

Σίτῳ

Σίτυ τ' οἴνοιο κορεσσάμενον κῆρ' θυμόν,
Εἴπῃς, ὁππόθεν ἐσσί, καὶ ὁππόσα κήδε' ἀνέτλης.
Ὣς εἰπὼν κλισίηνδ' ἡγήσατο δῖος ὑφορβός.
Εἶσεν δ' εἰσαγαγών, ῥῶπας δ' ὑπέχυθε δασείας.
Ἐφόρεσεν δ' ἔπι δέρμα ἰονθάδος ἀγελείου αἰγός,
Αὐτῷ σνβώταο, μέγα κῆρ δασύ· χαῖρε δ' Ὀδυσσεύς,
Ὅτι μιν ὡς ὑπέδεκτο· ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε,
Ζεύς τοι δοίη, ξεῖνε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι
Ὅ, τι μάλιστ' ἐθέλῃς, ὅτι μὲ φρεσὶν ὑπέδεξο.
Τόνδ' ἀπαμειβόμενος προσέφη, Εὔμαιε συφεῶτα,
Ξεῖν', οὔ μοι θέμις ἐστί, καὶ ὃς εἰ χαλίων σέθεν ἔλθοι,
Ξεῖνον ἀτιμῆσαι· πρὸς γὰρ Διός εἰσιν ἅπαντες
Ξεῖνοί τε, πτωχοί τε· δόσις δ' ὀλίγη τε, φίλη τε
Γίγνεται ἡμετέρη· ἡ γὰρ δμώων δίκη ἐστίν,
Αἰεὶ δειδιότων, ὅτ' ὑπερθύμοισιν ἄνακτες
Οἱ νέοι· ἦ γάρ τῷγε θεοὶ κατὰ νόστον ἔδησαν,
Ὅς κέν ἐμὲ σώφρονέως ἐφίλῃ, καὶ κτῆσιν ὄπαζεν,
Οἷά τε φῶ οἰκῆι ἄνακτι εὐθυμέοντι ἔδωκεν,
Οἶκόν τε, κλῆρόν τε, πολυμνήστην τε γυναῖκα,
Ὅς οἱ πολλὰ κάμνῃσι, θεὸς δ' ἐπὶ ἔργον ἀέξῃ·

" Cibo & vino ſaturatus ex animo,
" Dicas, unde ſis, & quot dolores toleraveris.
Sic loquutus ſtabulum versùs præceſſit nobilis ſubulcus;
Collocavitque *illum* introductum; virgultaque ſubſtravit denſa:
Inſtravitque pellem villoſæ ſylveſtris capræ,
Ibidem ſtratum magnum & denſum: gaviſus eſt autem Ulyſſes.
Quòd ipſum ſic ſuſceperat, verbúmque dixit & appellavit,
" Jupiter tibi det, hoſpes, & immortales dei alii
" Quodcunque maximè vis, quia me benignus ſuſcepiſti.
Hunc reſpondens alloquutus eſt Eumæus ſubulcus,
" Hoſpes, non mihi fas eſt, neque ſi pejor te veniat,
" Hoſpitem contemnere, ab enim Jove ſunt omnes
" Hoſpitéſque, pauperéſque; munus verò exiguumque, charumque
" Eſt noſtrum: Hic enim ſervorum mos eſt,
" Semper timentium, cùm dominántur heri
" Novi: certè enim illius reditum Dii impedierunt,
" Qui me valdè diligebat & poſſeſſionem *procul-dubio* dediſſet,
" Qualia ſuo Domeſtico Dominus benignus dederit,
" Domúmque & Facultates, & deſiderabilem uxorem;
" Qui nempè fidelitèr ei inſervíerit, Deúſq; illius laborem incremento auxerit:

" Non aliquis Deus ſum; cur me diis aſſimilas?
" Sed pater tuus ſum, cujus gratiâ tu ſuſpirans
" Pateris dolores multos, contumelias tolerans virorum.
Sic loquutus, filium oſculatus eſt, perque genas
Lacrymam mittebat in humum; antè autem tenebat indefinenter ſemper.
Telemachus verò, nondum enim perſuaſus fuerat ſuum patrem eſſe,
Rurſus ipſum verbis reſpondens alloquutus eſt,

Σ Χ Ο Λ Ι Α.

174. Ὤφελλε.] Ηὔξησεν.
175. Γναθμοί.] Γνάθοι. Τάνυσθεν.] Ἐπάγησαν.
185. Δῶρα τετυγμένα.] Ἀναθήματα, ἀγάλματα.
188. Στυγερὰ γεναχίζων] Στενάζων, λυπούμενος.

N O T Æ.

176. Κυάνεαι δ' ἐγένοντο * γενειάδες ἀμφὶ γένειον) Suavissima παρήχησις. In plurimis o im codicibus ἠθειάδες erat ſcriptum, pro quo γενειάδες ſubſtituo. *Iſaac. Caſaubon.* in Margine Codicis tunc ſui, nunc *Epiſcopi Elienſis, Johannis Mori*, manu notaverat, *ſcr.* γενειάδες. Idem, in *Lection. Theocrit.* ad *Idyll.* 1. v. 34. Lect. c. 2. p. 22. " Quæ notant Veteres ad " illa verba, καλὸν ἰθυμάζοντες, ea ſic ſcribi debent: " Ἐθειράζοντες) Κομῶντες τὰς τρίχας· ἐ γενειῶντες, " ὥς τινες. Ἔθειρα γὰρ, ἡ τῆς κεφαλῆς θρίξ· ὅθεν Ἀρι- " στοτέλης ἐν Ὁμήρῳ ἔγραψεν, Κυάνεαι δ' ἐγένοντο γε- " νειάδες ἀμφὶ γένειον, οὐκ ἰθειράδες. Locus eſt in " Odyſſ. π'. v. 176. Sed in noſtris Libris Vulgata " Lectio, quam *Ariſtoteles* exhibuerat, adhuc locum occupat. *Euſtathius* verò, fol. 600. lin. 35. " γενειάδες, pro genuinâ ſcripturâ ampleſtitur potiùs, quam ἰθειράδες. Sed mirum tacuiſſe illum de hâc *Ariſtotelis* emendatione. Quòd igitur id " ſciamus, debemus eam gratiam illi Grammatico, " qui primus ad iſtum locum annotavit, ſive is eſt " *Amarantus*, ſive quis alius, &c. Et paulò poſt, " p. 24. Porrò, ad hunc *Homeri* Verſum refero, " quod in *Etymologico* M. ſcriptum eſt, Γενειάδες, " αἱ κατὰ τὸ γένειον γινόμεναι τρίχες· παρὰ τὸ κακῶς, " ἰθειράδες. Ità lego iſtum locum, inquit ille, nempè " κακῶς, pro μάρ. Addo ego, *Euſtathii* verba ſunt hæc, fol. 600. lin. 35. Κυάνεαι δ' ἐγένοντο γενειάδες, ἡ ἰθειράδες, & mox, fol. 601. lin. 10. Ἐπιμολογικὸν δὲ τὸ, γενειάδες ἀμφὶ γένειον, ἤγουν τρίχες ἀμφὶ τὸ μάγουλον· εἰ δὲ γράφοι τις, ἰθειράδες, δῆλον, ὡς ἀπὸ τοῦ ἰθείρα, ἡ ἴθειρα, — ἀπ' αὐτῆς ὁ, παράγωγον, ἡ ἰθειράς. *Heſychius*, Γενειάδες) Αἱ περὶ τὸ γένειον τρίχες· γλυφάς, ἰσχνόν. Vid. *Suidam*, & *Scapulam*, v. Γενειάς.

VARIÆ LECTIONES.

176. Γενειάδες) γρ. ἰθειράδες, vid. Not. in Textum.

Οὐ σύγ' Ὀδυσσεύς ἐσσι, πάλιν ἐμός· ἀλλά με Δαίμων
Θέλγῃ, ὄφρ' ἔτι μᾶλλον ὀδυρόμενος τανύσσω·
Οὐ γάρ πως ἂν θνητὸς ἀνὴρ τάδε μηχανόῳτο
Ὧι αὐτῷ γε νόῳ, ὅτε μὴ θεὸς αὐτὸς ἐπελθών,
Ῥηϊδίως ἐθέλων θείη νέον, ἠδὲ γέροντα.
Ἦ γάρ τοι νέον ἦσθα γέρων, καὶ ἀεικέα ἕσσο,
Νῦν δ' ὣ θεοῖσιν ἐοικας, οἳ οὐρανὸν εὐρὺν ἔχουσι.
Τόνδ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Τηλέμαχ', οὔ σε ἔοικε φίλον πατέρ' ἔνδον ἐόντα
Οὔτε τι θαυμάζειν περιώσιον, οὔτ' ἀγάασθαι·
Οὐ μὲν γάρ τοι ἔτ' ἄλλος ἐλεύσεται ὧδ' Ὀδυσεύς.
Ἀλλ' ὅδ' ἐγὼ τοιόσδε, παθὼν κακὰ, πολλά τ' ἀνατλὰς,
Ἦλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
Αὐτάρ τοι τόδε ἔργον Ἀθηναίης ἀγελείης,
Ἥ τέ με τοῖον ἔθηκεν, ὅπως ἐθέλῃ· δύναται γάρ·
Ἄλλοτε μὲν πτωχῷ ἐναλίγκιον, ἄλλοτε δ' αὖτε
Ἀνδρὶ νέῳ, καὶ καλὰ περὶ χροϊ εἵματ' ἔχοντι.
Ῥηΐδιον δὲ θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
Ἠμὲν κυδῆναι θνητὸν βροτὸν, ἠδὲ κακῶσαι.
Ὣς ἄρα φωνήσας, καθ' ἄρ' ἕζετο· Τηλέμαχος δὲ
Ἀμφιχυθεὶς πατέρ' ἑοῖο ὀδύρετο, δάκρυα λείβων.
Ἀμφοτέροισι δὲ τοῖσιν ὑφ' ἵμερος ὦρτο γόοιο·
Κλαῖον δὲ λιγέως, ἀδινώτερον, ἤ τ' οἰωνοὶ
Φῆναι, ἢ αἰγυπιοὶ γαμψώνυχες, οἷσί τε τέκνα
Ἀγρόται ἐξείλοντο, πάρος πετεηνὰ γενέσθαι·
Ὣς ἄρα τοί γ' ἐλεεινὸν ὑπ' ὀφρύσι δάκρυον εἶβον·
Καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο,

" Non tu Ulyſſes es pater meus, ſed me Deus
" Demulcet; ut adhuc magis lugens ſuſpirem:
" Non enim aliquo modo mortalis vir hæc excogitaverit
" Suo ipſius animo; quando non Deus ipſe adveniens
" Facilè volens faciat juvenem & ſenem.
" Certè enim nuper eras ſenex, & indecenter indutus eras,
" Nunc verò Dîis ſimilis es, qui cœlum latum habitant.
Hunc reſpondens allocutus eſt prudens Ulyſſes,
" Telemache, non te decet dilectum patrem, intus cùm ſit,
" Neque demirari valdè, neque ſtupere:
" Non quidem enim ampliùs alius veniet huc Ulyſſes.
" Sed hic ego *ſum* talis, paſſus mala, multis verò toleratis,
" Veni vigeſimo anno in patriam terram.
" At hoc opus Minervæ prædatricis,
" Quæ me talem reddit, quomodocunque voluit, poteſt enim;
" Aliquando quidem pauperi ſimilem, aliquando item
" Viro juveni, pulchras circum corpus veſtes habenti.
" Facile verò Dîis, qui cœlum latum habitant,
" Et gloriâ illuſtrare mortalem hominem, & malo-afficere.
Sic loquutus ſedit; Telemachus igitur
Circumfuſus patrem bonum lugebat lacrymas fundens:
Ambobus verò his deſiderium obortum eſt luctûs.
Flebant itaque ſtridulè miſerabiliùs, quàm aves
Oſſifragæ aquilæ, vel vultures curvæ unguibus, quibus pullos
Ruſtici excipiunt, antequam volatiles ſint:
Sic hi miſerabiliter ſub ſupercilîis lacrymam fundebant.
Et lugentibus occidiſſet lumen Solis,

ΣΧΟΛΙΑ.

196. Μηχανόῳτο.] Ἐπινοήσει, πράξει.
203. Περιώσιον.] Περισσὸν καὶ τὸ ἀθρόηκεν· παρὰ τὸ ὅσιον, γίνεται θεριώσιον, συγκόπῃ δὲ ο, εἰς ω. Ἀγάασθαι.] Ἐκπλήττεσθαι.
205. Ἀνατλὰς.] Ὑπομείνας.
214. Ἀμφιχυθεὶς.] Περιπλακείς.
216. Ἀδινώτερον.] Οἰκτρότερον.
217. Αἰγυπιοί.] Γύπες.
218. Ἀγρόται.] Θηρευταὶ, κυνηγοί. Ἐξείλοντο.] Ἀφείλοντο. Πετεηνά.] Πτερωτὰ δυνάμενα.
219. Εἶβον.] Ἔχεον, ἔσταζον.

NOTÆ.

211. Ῥηΐδιον δὲ θεοῖσι) Vid. *Duport.* Gnomolog. in locum, & quæ Nos ad *Euripid.* Troad. v. 608.

VARIÆ LECTIONES.

195. Σπαχίζω) γρ. τανυσσίζω.
204. Γάρ τοι) γρ. γάρ τι, *H. Steph.*

Εἰ

Εἰ μὴ Τηλέμαχος προσεφώνεεν ὃν πατέρ' αἶψα,
Ποίῃ γὰρ νηΐ δεῦρο, πάτερ φίλε, νηί σε ναῦται
Ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι εὐχετόωντο;
Οὐ μέν γάρ τί σε πεζὸν ὀίομαι ἐνθάδ' ἱκέσθαι.
Τόνδ' αὖτε προσέφη πολύτλας, δῖος Ὀδυσεύς,
Τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθείην καταλέξω,
Φαίηκές μ' ἄγαγον ναυσίκλυτοι, οἵ τε καὶ ἄλλους
Ἀνθρώπους πέμπουσιν, ὅτις σφέας εἰσαφίκηται.
Καί μ' εὕδοντ' ἐν νηῒ θοῇ ἐπὶ πόντον ἄγοντες
Κάτθεσαν εἰς Ἰθάκην· ἔπορον δέ μοι ἀγλαὰ δῶρα,
Χαλκόν τε, χρυσόν τε ἅλις, ἐσθῆτά θ' ὑφαντήν·
Καὶ τὰ μέν κ' ἐν σπῆεσι θεῶν ἰότητι κέοντο.
Νῦν δ' αὖ δεῦρ' ἰκόμην, φρονέων Ἀθηναίης,
Ὄφρα κε δυσμενέεσσι φόνον πέρι βουλεύσωμεν.
Ἀλλ' ἄγε μοι μνηστῆρας ἀριθμήσας κατάλεξον,
Ὅφρ' εἰδέω, ὅσοι τε, καὶ οἵτινες ἀνέρες εἰσί·
Καί κεν ἐμὸν κῆρ θυμὸν ἀμύμονα μερμηρίξας
Φράσομαι, εἴκεν ἠὲ δυνησόμεθ' ἀντιφέρεσθαι,
Μοῦνοι ἄνευθ' ἄλλων, ἢ καὶ διζησόμεθ' ἄλλους.
Τόνδ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Ὦ πάτερ, ἦτοι σεῖο μέγα κλέος αἰὲν ἄκουον,
Χειρός τ' αἰχμητεῦ ἔμμεν, καὶ ἐπίφρονα βουλήν.
Ἀλλὰ λίην μέγα εἶπες, ἄγη μ' ἔχει· οὐδέ κεν εἴη,
Ἀνδρε δύω πολλοῖσι καὶ ἰφθίμοισι μάχεσθαι.
Μνηστῆρες δ' οὔτ' ἂρ δεκὰς ἀτρεκὲς, οὐδὲ δύ' οἶαι,
Ἀλλὰ πολὺ πλέονες· τάχα δ' εἴσεαι ἐνθάδ' ἀριθμόν.

Nisi Telemachus alloquutus fuisset suum patrem statim,
" Quali enim huc, pater, navi te nautæ
" Duxerunt in Ithacam? qui esse profitebantur?
" Non etenim te pedestrem puto hùc venisse.
Hunc rursus allocutus est laboriosus, divinus Ulysses,
" Ergò ego tibi, fili, veritatem apertè dicam;
" Phæaces me duxerunt navibus inclyti, qui & alios
" Homines mittunt, quicunque eos adeat.
" Et me dormientem nave veloci in pontum ducentes
" Deposuerunt in Ithacam, dederuntque mihi splendida dona,
" Æsque, aurúmque copiosè, vestémque textam:
" Et hæc quidem in speluncis Deorum consilio jacent.
" Nunc autem hùc veni admonitionibus Minervæ,
" Ut inimicorum de cæde consultemus.
" Sed agè mihi procos enumerans recense,
" Ut sciam, quótque, & qui viri sint:
" Et meo in animo strenuo agitato consilio
" Considerem; si nos poterimus adversari,
" Soli sine aliis, an & quæremus alios.
Hunc rursus Telemachus prudens contrà alloquutus est,
" O pater, certè tuam magnam gloriam semper audivi,
" Manibúque bellicosum esse, & prudentem consilio:
" Sed valdè magnum dixisti, stupor me habet, neque esset possibile,
" Viros duos multis & fortibus pugnare.
" Procorum autem neque decas una, neque duæ solæ,
" Sed multò plures, citò etenim scies hìc numerum.

ΣΧΟΛΙΑ.

230. Ἔπορον.] Ἔδωκαν.
236. Εἰδέω.] Μάθω.
238. Ἀντιφέρεσθαι.] Ἐξωθεῖσθαι.
239. Διζησόμεθα.] Ζητήσομεν.
242. Ἐπίφρονα.] Συνετὸν.
245. Οἶαι.] Μόναι.
246. Εἴσεαι.] Γνώσῃ, μαθήσῃ.

NOTÆ.

226. Ἀληθείην) Ità pro ἀληθέα scribo, vid. ad *Iliad. Ψ'.* v. 361. & suprà, ad ἡ. v. 297.

245. Μνηστῆρες δ' οὔτ' ἂρ δεκὰς ἀτρεκὲς) Totus omnium Procorum Numerus, unà cum Famulis, erat Centum atque Octodecim; ut per partes enumerans hinc probat Poeta.

VARIÆ LECTIONES.

223. Εὐχετόωντο) γρ. εὐχετόωνται, *H. Steph.* vid. suprà, ad v. 58.

226. Ἀληθείην) γρ. ἀληθέα, malè, ut Not. in *Textum*.

Ἐκ μὲν Δουλιχίοιο, δύω καὶ πεντήκοντα
Κοῦροι κεκλιμένοι, ἓξ δ' ὑπηρῆες ἕπονται·
Ἐκ δὲ Σάμης, πίσυρές τε καὶ εἴκοσι κοῦροι ἔασιν,
Ἐκ δὲ Ζακύνθου, ἔασιν εἰκοσι φῶτες Ἀχαιῶν,
Ἐκ δ' αὐτῆς Ἰθάκης, δυοκαίδεκα πάντες ἄριστοι·
Καί σφιν ἅμ' ἐστὶ Μέδων κῆρυξ, καὶ θεῖος ἀοιδὸς,
Καὶ δοιὼ θεράποντε, δαήμονε δαιτὸσυνάων.
Τῶν εἴ κεν πάντων ἀντήσομεν ἔνδον ἐόντων,
Μὴ πολύπικρα καὶ αἰνὰ βίας ὑποπίσεται ἐλθών.
Ἀλλὰ σύ γ', εἰ δύνασαι τίν' ἀμύντορα μερμηρίξαι,
Φράζευ· ὅ κεν τὶς νῶϊν ἀμύνοι θεσφρονι θυμῷ.
Τόνδ' αὖτε προσέφη πολύτλας δῖος Ὀδυσεὺς,
Τοιγὰρ ἐγὼν ἐρέω, σὺ δὲ σύνθεο, καί μευ ἄκουσον,
Καὶ φράσαι, εἰ καὶ νῶϊν Ἀθηνὴ, σὺν Διῒ πατρὶ,
Ἀρκέσῃ, ἦέ τιν' ἄλλον ἀμύντορα μερμηρίζω.
Τόνδ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Ἐθλὼ τοι τῶτω γ' ἐπαμύντορε, τὼς ἀγορεύεις,
Ὕψι περ ἐν νεφέεσι καθημένω· ὥστε καὶ ἄλλοις
Ἀνδράσι τε κρατέουσι, καὶ ἀθανάτοισι θεοῖσι.
Τόνδ' αὖτε προσέφη πολύτλας δῖος Ὀδυσεὺς,
Οὐ μὲν τοι κείνω γε πολὺν χρόνον ἀμφὶς ἔσεσθον
Φυλόπιδος κρατερῆς, ὁπότε μνησῆρσι καὶ ἡμῖν
Ἐν μεγάροισιν ἐμοῖσι μένος κείνῃ Ἄρηος.
Ἀλλὰ σὺ μὲν νῦν ἔρχευ, ἅμ' ἠοῖ φαινομένῃφιν,
Οἴκαδε, καὶ μνησῆρσιν ὑφορβιάλοισιν ὁμίλει·
Αὐτὰρ ἐμὲ σχετλὶ ἄγυ συβώτης ὕστερον ἄξει,

" Ex quidem Dulichio, duo & quinquaginta
" Juvenes electi; ſex inſuper famuli ſequuntur:
" Ex Samo quoque, quatuórque & viginti juvenes ſunt;
" Item ex Zacyntho, viginti ſunt viri Achivorum:
" At ex ipsâ Ithacâ, duodecim omnes optimi;
" Et cum ipſis ſimul eſt Medon præco, & divinus cantor,
" Et duo ſervi, ſcientes epulas facere.
" Hos ſi omnes aggrederemur, dum intùs ſunt,
" *Vide*, ne perquam amarè & graviter *horùm* inſolentias ulciſcaris reverſus.
" Sed tu, ſi potes aliquem adjutorem excogitare,
" Animadverte; qui nobis auxilietur prompto animo.
Hunc rurſus, alloquutus eſt laboriosus, divinus Ulyſſes,
" Tibi ergò ego dico, tu autem conſidera & me audi,
" Et cogita; ſi & nobis Minerva cum Jove patre
" Sufficiat, an adhuc alium adjutorem cogitabo?
Hunc rurſus Telemachus prudens contra alloquutus eſt,
" Boni ſanè hi ſunt adjutores, quos dicis,
" Alte licet in nebulis ſedentes; quique & aliis
" Viris dominantur, & immortalibus Diis.
Hunc rurſus allocutus eſt per toierans, divinus Ulyſſes,
" Non quidem illi multo tempore ſeparatim erunt
" Pugnâ forti, quando procis & nobis
" In domibus meis robur decernatur Martis.
" Sed tu quidem nunc vade, ſimul aurorâ apparente,
" Domum, & procis ſuperbis verſare;
" At me ad civitatem ſubulcus poſtea ducet,

Σ Χ Ο Λ Ι Α.

248. Κεκλιμένοι.] Ἐπίλεκτοι. Δρησῆρες.] Ὑπηρέται. ᾗ, λείπω, ἢ πιθανόν π.
249. Πίσυρες.] Τέσσαρες.
252. Μέδων.] Ὁμοῦ κύριον.
253. Δαιτοσυνάων.] Μαγειρικῶν ἔργων.
254. Ἀντήσομεν.] Μεθέξομεν.
255. Πολύπικρα.] Πολὺ πικρῶς, καὶ δεινῶς· λείπει
256. Ἀμύντορα.] Βοηθόν.
261. Ἀρκέσῃ.] Βοηθήσῃ.
270. Ἔρχευ.] Ἔρχου.
272. Ἄξει.] Κομιεῖ.

N O T Æ.

255. Μὴ πολύπικρα) *Br. Schol.* Λείπει ᾗ λείπω, ἢ πιθανόν π. Infinita ſunt hujus Ἐλλείψεως, apud omnes Auctores, & Sacroſanctos quoque Scriptores, exempla. Vid. infrà, ad v. 381.

V A R I Æ L E C T I O N E S.

263. Ἐπαμύνετε) γρ. ἔπ' ἀμύντορε.
270. Μὶν νῦν) χρ. μέν νυν, *H. Steph.* malè.
Ibid. Ἔρχευ) Ἔρχου, ut ſæpè aliàs, & præſertim *Iliad.* α'. v. 290.

Πτωχὸς

Πτωχῷ λθυγαλέῳ ἐναλίγκιον, ἠδὲ γέροντι.
Εἰ δέ μ' ἀπμήσουσι δόμοι κάτα, σὸν δ' ἦ φίλον κῆρ
Τετλάτω ἐν στήθεσι, κακῶς πάσχοντος ἐμεῖο,
Ἢν ποσὶ κὲ ἕλκωσι δόμα ποδῶν ἕλκωσι θύραζε,
Ἢ βέλεσιν βάλλωσι· σὺ δ' εἰσορόων ἀνέχεσθαι,
Ἀλλ' ἤτοι παύεσθαι ἀνωγέμεν ἀφροσυνάων,
Μειλιχίοις ἐπέεσσι παραυδῶν· οἱ δέ τοι οὐκὶ
Πείσονται· δὴ γάρ σφι παρίσταται αἴσιμον ἦμαρ.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
Ὁππότε κὲν πολύβουλος ἐνὶ φρεσὶ θήσῃ Ἀθήνη,
Νθύσω μὴν τοι ἐγὼ κεφαλῇ· σὺ δ' ἔπειτα νόησας,
Ὅσσα τοὶ ἐν μεγάροισιν ἀρήια τεύχεα κεῖται,
Ἐς μυχὸν ὑψηλὸν θαλάμου καταθεῖναι ἀείρας
Πάντα μάλ'· αὐτὰρ μνηστῆρας μαλακοῖς ἐπέεσσι
Παρφάσθαι, ὅτε κέν σε μεταλλῶσιν ποθέοντες,
Ἐκ καπνοῦ κατέθηκ'· ἐπεὶ οὐκέτι τοῖσιν ἐῴκει,
Οἷά ποτε Τροίηνδε κιὼν κατέλιπεν Ὀδυσεύς,
Ἀλλὰ κατήκισται, ὅσσον πυρὸς ἵκετ' ἀϋτμή.
Πρὸς δ' ἔτι μοὶ τόδε μεῖζον ἐνὶ φρεσὶ θῆκε Κρονίων,
Μήπως οἰνοβαρέντες, ἔριν στήσαντες ἐν ὑμῖν,
Ἀλλήλους τρώσητε, καταισχύνητέ τε δαῖτα,

" Pauperi miserando similem & seni.
" Si autem me dehonorabunt in ædibus, tuus tamen dilectus animus
" Toleret in pectoribus, malè patiente me:
" Etiamsi per domum pedibus trahant foras,
" Vel plagis percutiant; tu tamen inspiciens, tolera;
" Veruntamen cessare jube ab insipientiis,
" Suavibus verbis compellans: hi verò tibi non
" Parebunt; jam enim ipsis adest fatalis dies.
" Aliud autem tibi dico, tuque in mentibus pone tuis;
" Quando multi-consilii in animo ponet Minerva,
" Annuam quidem tibi ego capite, tuque tandem intelligens,
" Quæcunque tibi in domibus Martia arma jacent,
" In secessum alti thalami depone elevando
" Omnia valdè; at procos mollibus verbis
" Palpare; quando te inquirent arma desiderantes;
" *Dicens ad illos*, Ex fumo deposui; quoniam non his similia sunt,
" Qualia quondam ad Trojam proficiscens dereliquit Ulysses;
" Sed deturpata sunt; quantum ignis ivit vapor, *i.e.* fumus:
" Adhuc autem mihi hoc majus in animo posuit Saturnius,
" Nè quando vino-domiti, concitatâ contentione inter vos,
" Alios invicem vulneretis, fœdetisque convivium,

ΣΧΟΛΙΑ.

275. Τετλάτω.] Καρτερησάτω.
277. Βέλεσι.] Βλήμασι.
278. Ἀφραινωλέων.] Ἀνοήτων, μωρῶν.
279. Παραυδῶν.] Παραινῶν, συμβουλεύων.
282. Θήσῃ.] Ἐμβάλῃ.
285. Ἐς μυχόν.] Εἰς τὸ ἐσώτερον.
287. Παρφάσθαι.] Παραπίσαι, παρηλογίσασθαι.
288. Ἐκ καπνοῦ.] Ἐξ οὗ χαρεὶς δ' καπνῷ. Ἐῴκει.] Ὁμοῖα ἦν.
290. Κατήκισται.] Βέβλαπται, ἠφάνισται. Πυρὸς ἀϋτμή.] Ὁ καπνός.
292. Οἰνοβαρέντες.] Μεθυσθέντες.

NOTÆ.

279. Οἱ δέ τοι ἐκὶ Πείσονται) Huc refer illud 1 *Samuel.* c. 2. v. 25. ubi locus Parallelus de *Hophni* & *Phineas*, filiis *Eli*; & illud 2 *Chron.* c. 25. v. 16. Ubi Propheta ait, scire se, Deum *Amazie* Regis interitum determinâsse, quòd illius Consilio minus essèt morigerus. Hunc locum uberius tractamus, Prælect. *Odyss.* XXI. fol. 137. Vid. *Duport.* Gnomolog. in hunc locum.

284. Ὅσσα τοὶ ἐν μεγάροισιν Ἀρήια τεύχεα κεῖται) Quòd hi Versus hoc in loco malè à Veteribus obelo notarentur, dicimus infrà, ad τ'. v. 4. Not. ad *Scholia*, & *Textum*.

286. Πάντα μάλ') Hic locus, per Novem integros Versus iterum occurrit, τ'. v. 5. ad v. 13.

NOTÆ IN SCHOLIA.

287. *Συμβουλεῦσαι) Ità Nos, pro corrupto, συμβολεῦσαι.

VARIÆ LECTIONES.

273. Γίγνηλ) γρ. γίγνεσθε, Cod. *Colbertin.* apud *Dionys. Halicarn.* Edit. *Hudson.* §. 2. fol. 9.
282. Ὁππότε κὲν) γρ. ὁππότε ἂν, *H. Steph.* malè.
291. Πρὸς δ' ἔτι μοὶ τόδε μεῖζον) γρ. ὡς δή τι καὶ τόδε μοὶ ζον, *H. Steph.*

Καὶ μνηστύν· αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος.
Νῶϊν δ' οἷοισιν δύο φάσγανα ἠὲ δύο δοῦρε
Καλλιπέειν, ἠὲ δοιὰ βοάγεια χερσὶν ἑλέσθαι·
Ὡς ἂν ὀπηδύσαντες ἑλοίμεθα· τώδε κ' ἔπειτα
Παλλὰς Ἀθηναίη θέλξῃ καὶ μητίετα Ζεύς.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν,
Εἰ ἐτεόν γ' ἐμός ἐσσι, καὶ αἵματος ἡμετέροιο,
Μή τις ἔπειτ' Ὀδυσῆος ἀκουάτω ἔνδον ἐόντος,
Μήτ' ἂν Λαέρτης ἴσκω τόγε, μήτε συβώτης,
Μήτε τις οἰκήων, μήτ' αὐτὴ Πηνελόπεια·
Ἀλλ' οἶοι σύ τ', ἐγώ τε, γυναικῶν γνώομεν ἰθύν.
Καί κε τέο δμώων ἀνδρῶν ἔτι πειρησαίμεν,
Ὅς μοι ὅπως τις νῶι πίεται καὶ δείδιε θυμῷ,
Ὅς τ' ἴσκε οὐκ ἀλέγειν, σὲ δ' ἀπημοσύνῃ τοῖον ἐόντα.
Τόνδ' ἀπαμειβόμενος προσεφώνεε φαίδιμος υἱός,
Ὦ πάτερ, ἦτοι ἐμὸν θυμὸν καὶ ἔπειτά γ' ὀΐω
Γνώσεαι· οὐ μὰν γάρ τι χαλιφροσύνας γέ μ' ἔχουσιν·
Ἀλλ' οὔτοι τόδε κέρδος ἐγὼν ἔσεσθαι ὀΐω
Ἡμῖν ἀμφοτέροισι· σὲ γὰρ φράζεσθαι ἄνωγα.
Δηθὰ γὰρ αὔτως εἴσῃ ἑκάστῳ πειρητίζων,
Ἔργα μετερχόμενος· τὸ δ' ἐν μεγάροισιν ἔκηλοι

" Et ſponſalia; ipſum enim trahit virum ferrum.
" Nobis verò ſolis duos enſes, & duas lanceas
" Relinque, & duo ſcuta manibus capienda;
" Ut impetu facto accipiamus: hos utique poſtea
" Pallas Minerva decipiet & conſiliarius Jupiter.
" Aliud autem tibi dico, tu verò in mentibus pone tuis,
" Si verè meus es, & ſanguinis noſtri,
" Nè quis poſtea Ulyſſem audiat intùs eſſe,
" Neque igitur Laërtes ſciat hoc, neque ſubulcus,
" Neque aliquis domeſticorum, neque ipſa Penelope.
" Sed ſoli tuque, egóque, mulierum cognoſcamus ingenium:
" Et aliquem ex famulis maribus etiam exploremus,
" Tam ubi aliquis nos honorat, & timet animo,
" Quàm qui *non* curat, at te dehonorat, talem exiſtentem.
Hunc reſpondens alloquutus eſt illuſtris filius,
" O pater, certè meum animum & poſtea puto
" Cognoſces, non quidem enim ſocors-mollicies me tenet:
" Sed non hoc lucrum ego fore puto
" Nobis ambobus; te itaque conſiderare ſuadeo.
" Diu enim ſic cognoſces unumquemque tentans,
" Opera obiens; hi verò in domibus quieti

ΣΧΟΛΙΑ.

294. Αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος.] Πρόχειρος γὰρ ἀνὴρ πρὸς φόνον, παρακειμένῳ σιδήρῳ. Ἐφέλκεται.] Ἐρεθίζει.
295. Νῶϊν.] Ἡμῖν. Οἷοισι.] Μόνοις.
296. Καλλιπέειν.] Καβαλιπεῖν, ἀντὶ τοῦ, καβάλιπε.
302. Ἴσκω.] Ἐπιτάσσω.
304. Ἰθύν.] Τὴν ἀφανοίας ἀφαίρεσιν.
305. Πειρησαίμεθα.] Διαπείραιμεν ληψώμεθα.
306. Δείδιε.] Φοβεῖται.
307. Ἀλέγειν.] Διὰ φροντίδος ἔχει. Ἀπημοσύνῃ.] Ἀπημαλίᾳ.
310. Χαλιφροσύνας.] Ἦτοι ἀφροσύνας, ἢ κιχλασμοὺς καὶ ἄκλυπτα φρένες, ἢ σκαιὰς καὶ *ἀβίλτρους τῇ ἀφανοίᾳ.
311. Κέρδος.] Ὄφελος.
314. Μετερχόμενος.] Διὰ παιδὸς ἔχων.

NOTÆ.

294. Αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος) Et hic locus iterum occurrit, τ'. v. 13. Huc refer illud *Taciti*, Hiſtor. l. 1. p. 281. *Tempus* in ſuſpicionem, *Cauſa* in crimen, *Affectatio* quietis in tumultum valuit, & *viſa inter temulentos Arma cupidinem ſui movére*. Vid. *Duport.* Gnomolog. in locum, & Not. in *Br. Schol.*

NOTÆ IN SCHOLIA.

294. Πρόχειρος γὰρ ἀνὴρ πρὸς φόνον) *Euſtath.* fol. 606. lin. 10. Πρόχειρος εἰς μάχλον ἀνὴρ, καθὰ τὸς Παλαιοὺς, παρακειμένῳ σιδήρῳ· ἴσα ὥσπερ σίδηρος ὁ μαγνῆτις, ὅπως αὐτὸς ἐπάγηται τὸ θυμούμενον· καὶ ἀληθῶς, ὅπλον ἀχορηγήτῳ θυμῷ, πᾶν τὸ παρατυχόν.
310. * Ἀβιλτεροι) Ità, pro malo ἀβίλτρεαι, nam ὁ καὶ ἡ ἀβίλτρος.

VARIÆ LECTIONES.

300. Καὶ αἵματος ἡμετέροιο) γρ. ἐμοὶ δ' σε γείνατο μήτηρ, *Plutarch.* Vitâ *Homeri*, §. XVIII.
302. Μήτ' ἂν Λαέρτης ἴσκω τόγε) γρ. Μήτε τὸ Λαέρτης ἴσκω τόδε, *Plutarch.* ibid.
305. Πειρησαίμεθ') γρ. πειρηθῶμεν.

Χρήματα

Χρήματα δαρδάπτουσιν ὑπέρβιον, οὐδ' ἔπι φειδώ.
Ἀλλ' ἦτοί σε γυναῖκας ἐγὼ δεδάασθαι ἄνωγα,
Αἵ τέ σ' ἀπημάξουσι, καὶ αἳ νηλητεῖς εἰσιν·
Ἀνδρῶν δ' οὔ κε ἄν ἔγωγε κατὰ ῥαθυμὸν ἐθέλοιμι
Ἡμέας πειράζειν, ἀλλ' ὕστερα ταῦτα πένεσθαι,
Εἰ ἐτεὸν γέ τι οἶσθα Διὸς τέρας Αἰγιόχοιο.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Ἡ δ' ἄρ' ἔπτη Ἰθάκηνδε κατήγαγε νῆας εὐεργὲς,
Ἣ Φέρε Τηλέμαχον Πυλόθεν καὶ πάντας ἑταίρους·
Οἱ δ' ὅτε δὴ λιμένος πολυδευκέος ἐντὸς ἵκοντο,
Νῆα μὲν οἵγε μέλαιναν ἐπ' ἠπείροιο ἔρυσαν,
Τεύχεα δέ σφ' ἀπένηκαν ὑπέρθυμοι θεράποντες·
Αὐτίκα δ' ἐς Κλυτίοιο φέρον περικαλλέα δῶρα.
Αὐτὰρ κήρυκα πρόεσαν δόμον εἰς Ὀδυσῆος,
Ἀγγελίην ἐρέοντα πεφραδέειν Πηνελοπείῃ,
Οὕνεκα Τηλέμαχος μὲν ἐπ' ἀγρῶν, νῆα δ' ἀνώγει
Ἄσυλ' ἀποπλείειν· ἵνα μὴ δείσασ' ἀχνὶ θυμῷ
Ἰφθίμη βασίλεια τέρεν κατὰ δάκρυον εἴβοι.
Τὼ δ' σωατήτῳ κήρυξ, καὶ δῖος ὑφορβός,
Τῆς αὐτῆς ἕνεκ' ἀγγελίης, ἐρέοντε γυναικί.
Ἀλλ' ὅτε δὴ ῥ' ἵκανον δόμον θείου βασιλῆος,
Κῆρυξ μὲν ῥα μέσῃσι μετ' ἀμφίποσιν ἔειπεν,

" Res devorant præter modum, neque adhibetur parsimonia.
" Sed certe te mulieres ego explorare hortor,
" Quæque te dehonorant, & quæ inculpatæ sunt:
" Virorum autem nondum ego per ædes velitem
" Nos tentare, sed postea hæc laborare,
" Si vere saltem scis Jovis portentum Ægiochi.
Sic hi quidem talia inter se loquebantur.
Ast interea Ithacam deducta est navis bene-fabricata,
Quæ tulerat Telemachum a Pylo, & omnes socios:
Hi verò quando jam portum valdè profundum intraverunt,
Navem quidem hi nigram in terram traxerunt,
Armaque illis exportârunt magnanimi servi;
Statim autem *ad* Clytii *domum* portaverunt perpulchra dona.
At præconem præmiserunt domum ad Ulyssis,
Nuncium dicentem perprudenti Pénelopæ,
Quòd Telemachus quidem in agro, navem autem jusserat
Civitatem adnavigare; ut non timens in animo
Potens regina teneras lacrymas fundat.
Obvii igitur facti fuerunt præco, & divinus subulcus,
Ejusdem gratiâ nuncii, dicturi mulieri.
Sed quando jam pervenerunt domum divini regis,
Præco quidem mediis in ancillis dixit,

ΣΧΟΛΙΑ.

316. Διδάασθ.] Μαθήσεσθαι.

317. Νηλητεῖς.] Σημαίνει τοὺς ἁμαρτωλούς· ὡς λαὶ δ' εὐσεβὴς, γίνεται εὐσεβείας, εὐσεβεῖς· ἔτως καὶ λαὶ δ' νηλητὴς, νηλητέες, νηλητεῖς· γίνεται δὲ παρὰ δ' τὴ στερητικὸ μορίου, καὶ δ' ἀλιτεῖν. ὃ σημαίνει τὸ ἁμαρτεῖν. καὶ λαὶ τοῦτο, δ' ἀλιτεῖν λαὶ δ' ι * γραφομένου, τὸ νηλητὴς γράφε λαὶ δ' ή· ὅπι οἱ Αἰολεῖς ἔτρεπον τὸ ι εἰς η.

318. Σταθμούς.] Οἴκους.

331. Δείσασα.] Φοβηθεῖσα.

333. Σωατήτω.] Συνέδρῳ μου, συνιδίτῃ σου.

334. Ἐρέοντε.] Εἰπεῖν ὀφείλουσιν.

NOTÆ.

317. Νηλητεῖς) Ità scribi debere testantur *οἱ Παλαιοὶ*, ut videre est in *Br. Schol.* exponitur autem per *ἀναμαρτήτως, παρὰ τὸ νὴ* & *ἀλιτεῖν*. Vocem ergò *νηλιτεῖς* ad *Var. Lect.* moveo. Potest tamen *νηλητὴς* legi paulò rotundius & *νηλήδης*, vel *νηλίτιδες*, *Eustath.* fol. 725. lin. 41. Nec has *Lectiones* tamen notat *H. Steph.* Vid. infrà, ad *ω'*. v. 65. ad *Var. Lect.*

NOTÆ IN SCHOLIA.

317. * Γεγραφομένου] In tribus Vett. Codd. *γεγραφόμενον*, non æquè benè. Νηλητεῖς in *Scholio* semper scribo, ex mente ipsius *Scholiasta*. Prior *Scholii* pars ex *Etymologico* M. vel hoc certè ex illo. Confer cum hoc & illud *Scholion*, ad *Iliad. τ'*. v. 498. Ex Literarum ordine, ità apud *Hesychium* legendum constat, Νηλητεῖς) Ἀναμαρτήτως· παρὰ τὸ μὴ ἁλιτεῖν· ἐ, Νηλητίδες.

VARIÆ LECTIONES.

315. Ἔπι) γρ. ἔπ.

317. Νηλητεῖς) γρ. νηλητέες, νηλιτεῖς, νηλίπδες, & νηλήδις. Vid. Not. in *Textum*.

Ἦδη

Ἦδη τοὶ, βασίλεια, φίλος παῖς ἐλήλυθε.
Πηνελοπείη δ' εἶπε συβώτης ἄγχι παραστὰς
Πάντ', ὅσα οἱ φίλος υἱὸς ἀνώγει μυθήσασθαι.
Αὐτὰρ ἐπειδὴ πᾶσαν ἐφημοσύνην ἀπέειπε,
Βῆ ῥ' ἴμμεν μετ' ὗας, λίπε δ' ἔρκεά τε, μέγαρόν τε.
Μνησῆρες δ' ἀκάχοντο, κατήφησάν τ' ἐνὶ θυμῷ·
Ἐκ δ' ἦλθον μεγάροιο παρὲκ μέγα τεῖχος αὐλῆς,
Αὐτοῦ δ' ἡμπάφοιθε θυράων ἑδριόωντο.
Τοῖσιν δ' Εὐρύμαχος, Πολύβου πάϊς, ἦρχ' ἀγορεύειν,
Ὦ φίλοι, ἦ μέγα ἔργον ὑπερφιάλως τετέλεσται
Τηλεμάχῳ, ὁδὸς ἥδε· φάμην δέ οἱ οὐ τελέεσθαι.
Ἀλλ' ἄγε νῆα μέλαιναν ἐρύσσομεν, ἥτις ἀρίστη·
Ἐς δ' ἐρέτας ἁλιῆας ἀγείρομεν, οἵ κε τάχιστα
Κείνοις ἀγγείλωσι θοῶς οἶκόνδε νέεσθαι.
Οὔπω πᾶν εἴρητ', ὅτ' ἄρ' Ἀμφίνομος ἴδε νῆα,
Στρεφθεὶς ἐκ χώρης, λιμένος πολυβενθέος ἐντὸς,
Ἱστία τε στέλλοντας, ἐρετμά τε χερσὶν ἔχοντας.
Ἡδὺ δ' ἄρ' ἐκγελάσας μειλιφώνεεν οἷς ἑτάροισι,
Μή πω ἔτ' ἀγγελίην ὀτρύνωμεν· οἵδε γὰρ ἔνδον·
Ἦ τίς σφιν τόδ' ἔειπε θεῶν, ἢ εἶσιδον αὐτοὶ
Νῆα παρερχομένην, τὴν δ' οὐκ ἐδύναντο κιχεῖν.
Ὣς ἔφαθ'· οἱ δ' ἀνστάντες ἔβαν ἐπὶ θῖνα θαλάσσης.
Αἶψα δὲ νῆα μέλαιναν ἐπ' ἠπείροιο ἔρυσαν,
Τεύχεα δέ σφ' ἀπένηκαν ὑπέρθυμοι θεράποντες·
Αὐτοὶ δ' εἰς ἀγορὴν κίον ἀθρόοι, οὐδέ τιν' ἄλλων
Εἴων, οὔτε νέων μεταΐζειν, οὔτε γερόντων·

" Jam tibi, ô Regina, dilectus filius venit.
Penelopæ autem dixit ſubulcus propè aſtans
Omnia, quæcunque ei dilectus filius juſſit loqui.
At poſtquam omne præceptum denunciavit,
Perrexit ad ſues, liquitque ſepraque, domumque :
Proci autem triſtati ſunt, mœſtique ſunt in animo,
Atque exiverunt domo apud magnum murum atrii ;
Et illic ante januas ſederunt :
His igitur Eurymachus, Polybi filius, incepit dicere,
" O amici, certè magnum opus ſuperbe perfectum eſt
" Telemacho, via hæc: putabamus enim ei non perfectum iri.
" Sed agite navem nigram trahamus, quæ optima :
" Intuſque remiges marinos congregemus, qui velociſſimè
" Illis nuncient velocitèr domum redire.
Nondum omne dictum eſt, quando Amphinomus vidit navem,
Verſus ex loco, portum per profundum intrà,
Veláque contrahentes, remoſque manibus tenentes.
Suaviter itaque ridens loquutus eſt procis,
" Nè aliquem nuncium moveamus ; hi enim intús :
" Vel aliquis eis hoc dixit deorum, vel viderunt ipſi
" Navem prætervenientem, hanc autem non poterant conſequi.
Sic dixit ; aſt illi ſurgentes iverunt in littus maris.
Statim verò navem nigram in terram traxerunt,
Armáque ipſis abſportárunt magnanimi ſervi.
Ipſi autem ad concilium iverunt denſi, neque aliquem aliorum
Siverunt, neque juvenum conſidere, neque ſenum :

Σ Χ Ο Λ Ι Α.

341. Μεθ' ὗας.] Ἐπὶ τὰς σῦς.
342. Κατήφησαν.] Ἐλυπήθησαν, ἐσύγασαν.
343. Ἐκ δ' ἦλθον.] Ἐξῆλθον δέ.
350. Ἀγγείλωσιν.] Ἀπαγγείλωσιν, εἴπωσιν.
353. Στείλοντας.] Συείλοντας.
357. Κιχεῖν.] Καταλαβεῖν.
362. Μεταΐζειν.] Συγκαθέδραν.

N O T Æ.

347. Φαμὴν δέ οἱ οὐ τελέεσθαι) Ità rectè. Verùm in corruptioribus quibuſdam priorum *Editionum* Exemplaribus, viz. *Roman.* & *Baſil. Euſtathii, Aldin. Louan. φαμὴν δέ μιν μὴ τελέεσθαι*, de quâ *Lectione Renatus Guillenius*, in *Gnomone*, p. 45. Vid. ad λ'. v. 261. ubi & παῖδας, ſimiliter malè, pro παῖδ' legebatur, & pejus defendebatur, ut plura alia ejuſmodi à Grammaticaſtris, qui operoſiùs nugabantur in Corruptis defendendis. *Florentina* tamen, ut Nos legit, *φαμὴν δέ οἱ οὐ τελέεσθαι*, quam ſolam *Lectionem* agnoſcit *H. Stephanus* in ſuâ *Editione*, & eadem in omnibus occurrit, δ'. v. 664. *φαμὴν δέ οἱ οὐ τελέεσθαι*.

V A R I Æ L E C T I O N E S.

337. Εἰλήλυθε) γρ. εἰληλύθῃ, ut aliàs.
347. Φαμὴν δέ οἱ οὐ τελέεσθαι) γρ. *φαμὴν δέ μιν μὴ τελέεσθαι*, vid. Not. in *Textum*.
354. Μετεφώνεεν οἷς ἑτάροισιν) γρ. *μετεφώνῃ μνηστῆρσιν*, *H. Steph.*

Τοῖσιν

Τοῖσιν δ' Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός,
Ὦ πόποι, ὡς τόνδ' ἄνδρα θεοὶ κακότητος ἔλυσαν·
Ἤματα μὲν σκοποὶ ἷζον ἐπ' ἄκρης ἠνεμοέσσας
Αἰὲν ἐπασσύτεροι· ἅμα δ' ἠελίῳ καταδύντι,
Οὔποτ' ἐπ' ἠπείρου νύκτ' ἄσαμεν, ἀλλ' ἀνὰ πόντῳ
Νηῒ θοῇ πλείοντες ἐμίμνομεν ἠῶ δῖαν,
Τηλέμαχον λοχόωντες, ἵνα φθίσωμεν ἑλόντες
Αὐτόν· τὸ δ' ἄρα τέως μὲν ἀπήγαγεν οἶκαδε Δαίμων·
Ἡμεῖς δ' ἐνθάδε οἱ φραζώμεθα λυγρὸν ὄλεθρον
Τηλεμάχῳ· μηδ' ἦμας ὑπεκφύγοι· ὡ γὰρ οἴω,
Τοῦτο γε ζώοντος, ἀνύσεσθαι πάντα ἔοργε·
Αὐτὸς μὲν γὰρ ὀπιπήμων βουλῇ τε νόῳ τε·
Λαοὶ δ' οὐκ ἔτι πάμπαν ἐφ' ἡμῖν ἦρα φέρουσιν.
Ἀλλ' ἄγε, πρὶν κεῖνον ὁμηγερίσασθαι Ἀχαιοὺς
Εἰς ἀγορήν· ὁ γάρ τι μεθησέμεναί μιν οἴω,
Ἀλλ' ἀπομηνίσει, ἐρέει δ' ἐν πᾶσιν ἀνωγάς,
Οὕνεκά οἱ Φόνον αἰπὺν ἐράπτομεν, οὐδ' ἐπίκυρσε.
Οἱ δ' οὐκ αἰνήσουσιν ἀκούοντες κακὰ ἔργα,
Μή τι κακὸν ῥέξωσι, καὶ ἡμέας ἐξελάσωσι
Γαίης ἡμετέρης, ἄλλον δ' ἀφικώμεθα δῆμον.
Ἀλλὰ φθέωμεν ἑλόντες ἐπ' ἀγροῦ νόσφι πόληος,
Ἢ ἐν ὁδῷ· βίοτον δ' αὐτοὶ καὶ κτήματ' ἔχωμεν,

His itaque Antinous dixit Eupithei filius,
" O amici, ut hunc virum dii malo liberârunt!
" Die quidem ſpeculatores ſedebant in ſummitatibus ventoſis
" Semper ſuccedanei; ſimul autem ſole occidente,
" Nunquam in terrâ nocte dormiebamus, ſed in ponto
" Navi veloci navigantes expectabamus auroram divinam,
" Telemacho inſidiantes, ut interficeremus interceptum
" Ipſum: hunc interim quidem abduxit domum Deus.
" Nos tamen hic ei conſultemus gravem mortem
" Telemacho, neque nos ſubterfugiat: *non enim puto*,
" Hoc vivente, perfectum iri hæc opera:
" Ipſe quidem enim peritus conſilioque mentéque,
" Populique non jam uſquequaque nobis favent.
" Sed agite, antequam ille cogat Achivos
" Ad *concionem*; (non enim remiſſurum ipſum puto,
" Sed ad iracundiam excitabit; dicetque inter omnes, quum ſurrexerit,
" Quòd ei eædem gravem ſtruximus, neque aſſecuti ſumus,
" Hi autem non laudabunt audientes mala opera)
" Nè quid malum faciant, & nos expellant
" Terrâ noſtrâ, aliúmque adeamus populum.
" Verùm præveniamus interficientes in agro procul à civitate,
" Vel in viâ, ſubſtantiamque ipſi, & res habeamus,

ΣΧΟΛΙΑ.

364. Κακότητος.] Τῆς ἐπιβουλῆς.
365. Σκοποί.] Κατάσκοποι. Ἐπ' ἄκρης.] Ἐπὶ τὰ ὑψηλότατα μέρη τῶν ὀρῶν.
366. Καταδύντι.] Δύνοντι.
367. Ἄσαμεν.] Ἐκαθεύδησαμεν.
368. Ἐμίμνομεν.] Ἐφύλαττομεν.
369. Φθίσωμεν.] Ἀνέλωμεν.
373. Ἀνύσεσθαι.] Ἀνυσθῆναι.
376. Ὁμηγερίσασθαι.] Ἀθροῖσαι, συναγαγεῖν.
377. Μεθησέμεναι.] Παρεάσειν.
378. Ἀποτμωσίμη.] Ὀργιοῦται.
379. Ἐράπτομεν.] Κατασκευάζομεν.
381. Ἐξελάσωσι.] Διώξωσι.
383. Φθέωμεν.] Φθάσωμεν, προλάβωμεν. Ἑλόντες.] Ἀπελόντες.

NOTÆ.

372. Ἤματα) Ità omninò ſcribendum, pro ἡμᾶς, ob *Metrum*, ut *Euſtathius* ait, Ἰωνικῶς, & Ἀττικῶς, ἀναπεπωθότος τοῦ τὸ ε, συνεσάλη ἡ λέξις. Sic, ν'. v. 177. Γωσέμμεν· μᾶλλον δὲ ἦμεν ὅρος πολὺ ἀμφικαλύψαι, & υ'. v. 272. Τηλεμάχῳ· μᾶλλον δὲ ἦμιν ἀπωσλήσας ἀγορεύῃ. Vid. *H. Steph.* quæque Nos ſuprà, ad Φ'. v. 569.

376. Ἀλλ' ἄγε, πρὶν κεῖνον) De inſigni hâc *Elleipſi*, dicemus infrà, ad v. 381. Vid. ſuprà, ad v. 255.

381. Μή τι κακὸν ῥέξωσι) *Elleipſis*, ut ſuprà, v. 255. *Euſtath.* fol. 610. lin. 13. Ἐλλειπτικῶς ἔχει· λείπει γὰρ τὸ, διὸ δέδοικα· ἢ ἄλλο τι ὅμοιον· θυμῷ δὲ χρῆται τοῦτο πολλαχοῦ, μὴ ἑῶντος λαλεῖν ἀνεκκλιτῶς· οἱονεί τι κρύπτει τὸ, Ἀλλ' ἄγε, πρὶν κεῖνον ὁμηγερίσασθαι Ἀχαιούς, ἐν ᾧ τῷ ἄγετε, λείπει ῥῆμα πληθυντικόν, οἷον τὸ, ἀλοφησόμεθα.

VARIÆ LECTIONES.

372. Ἤματα) γρ. ἡμᾶς, malè. Vid. Not. in *Textum*.

Δαισά-

Δασσάμενοι κτῆ μοῖραν ἐφ' ἡμέας, οἰκία δ' αὖτε
Κείνῳ μητέρι δοῖμεν ἔχειν, ἠδ' ὅς τις ὀπυίοι.
Εἰ δ' ὑμῖν ὅδε μῦθος ἀφαυδάνῃ, ἀλλὰ βέλεσθε
Αὐτόν τε ζώειν καὶ ἔχειν πατρώϊα πάντα,
Μή οἱ χρήματ' ἔπειτα ἄλις θυμηδέ' ἔδωμεν
Ἐνθάδ' ἀγειρόμενοι, ἀλλ' ὃν μεγάροιο ἕκαστος
Μνάᾳσι ἐέδνοισιν διζήμενος· ἡ δ' ἂν ἔπειτα
Γήμαιτ', ὅς κεν πλεῖστα πόροι, καὶ μόρσιμος ἔλθοι.
Ὡς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
Τοῖσιν δ' Ἀμφίνομος ἀγορήσατο καὶ μετέειπεν,
Νίσου Φαίδιμος υἱὸς, Ἀρητιάδαο ἄνακτος·
Ὅς ῥ' ἐξ Δουλιχίου πολυπύρου, ποιήεντος,
Ἡγεῖτο μνηστῆρσι· μάλιστα δὲ Πηνελοπείῃ
Ἥνδανε μύθοισι· φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσιν.
Ὅς σφιν ἐὐφρονέων ἀγορήσατο καὶ μετέειπεν,
Ὦ φίλοι, οὐκ ἂν ἔγωγε κατακτείνῳ ἐθέλοιμι
Τηλέμαχον· δεινὸν δὲ γένος βασιλήϊον αὖτε
Κτείνῳ, ἀλλὰ πρῶτα θεῶν εἰρώμεθα βουλάς·
Εἰ μέν κ' αἰνήσωσι Διὸς μεγάλοιο θέμιστες,

" Diviſis, ut par eſt, inter nos; ædes autem rurſus
" Illius matri dabimus habere, & quicunque acceperit uxorem.
" Sin vobis hæc res non placet, ſed mavultis
" Ipſum vivere & habere paterna omnia,
" Nec tum ei facultates ſatis animo-congruas devoremus
" Hic congregati, ſed ex domo unuſquiſque
" Petat uxorem dotibus inquirens; & illa demùm
" Nubat ei, qui plurima dabit, & cui ſorte obtigerit.
Sic dixit: aſt hi omnes quieti facti ſunt ſilentio.
His verò Amphinomus concionatus eſt & dixit,
Niſi illuſtris filius, Aretiadæ regis,
Qui ex Dulichio feraci-frumenti, herbosâ,
Dux fuit procis; maximè autem Penelopæ
Placuit verbis, mentibus enim utebatur bonis:
Hic illis prudens concionatus eſt, & dixit,
" O amici, non ego interficere velim
" Telemachum, arduum enim genus regium eſt
" Interficere: ſed primùm deorum interrogemus conſilia:
" Siquidem probabunt Jovis magni jura,

ΣΧΟΛΙΑ.

385. Καθ' μοῖραν ἐφ' ἡμέας.] Τυτίση καθ' ἑαυτὰς. μὴ τοῖς ἀπῦσι μερίσωμεν. Ἐφ' ἡμέας.] Καθ' ἑαυτάς.

386. * Ὀπυίοι.] Γαμοῖ.

387. Ἀφαυδάνῃ.] Ἀπαρέσκῃ.

389 Θυμηδέα.] Τὰ τῇ ψυχῇ ἡδύνοντα. Ἔδωμεν.] Ἐσθίωμεν.

391. Μνάᾳσι.] Μνησιδίῳ.

392. Γήμαιτ'.] Γαμηθείη. Πόροι.] Παρέχοι. Μόρσιμος.] Εἱμαρμένος.

402. Εἰρώμεθα.] Ζητήσωμεν.

403. Αἰνήσωσιν.] Ἐπινεύσωσι, συγχωρήσωσιν.

NOTÆ.

387. Εἰ δ' ὑμῖν ὅδε μῦθος ἀφαυδάνῃ, ἀλλὰ βελεσθε) Quomodò hic Verſus ſtabit, meritò dubitatum; niſi βέλεσθε, pro βελεσθε, legamus, per ἔλλειψιν *Subjunctivæ* Vocalis, quæ certè erat vetus ſcribendi conſuetudo; & indè, ab obſoleto βέλω, pro βέλομαι, fiebat, βόλω, unde *Latinum* Volo. Etiam βυλὴ, οἱονεὶ βολή τις λέγων, ut *Euſtath.* fol. 42. lin. 24. Sic à *Græco* Συρακόσιος, fit Συρακόσιος, ut *Virgil. Eclog.* 6. v. 1. *Prima Syracoſio dignata eſt ludere Verſu.* *Bailius* dicit, τὸ λ', in Dimenſione liqueſcere, ut illius nulla prorſus ratio habeatur. Tale illud, α'. v. 234. Νῦν δ' ἑτέρως ἐβάλοντο θεοὶ κακὰ μηδέα εἰδότες, ut legunt *Br. Schol.* Editio *Florentina, Aldina, Lovanian. Schol.* MS. *Gonvillo-Caienſ. Cantabr.* & ipſe *Euſtath.* quanquam τὸ ἐβάλοντο ibi præferat. Aliàs legi potuit, ἢ βέλεσθε, vel ἀλλὰ βόλεσθε, vel ἀλλ' ἐθέλητε; & ſi quod Exemplar faveret audaciæ, facilè legendum ſuaderem, Εἰ δ' ὑμῖν ὅδε μῦθος ἀφήνδανε, καὶ βέλεσθε.

403. Θέμιστες) Quod Vett. legerint τεμῦρα, aut τεμῦροι, *Strabo* teſtatur. l. 7. fol. 328. ad finem; in quem locum videſis *Iſaac. Caſaubon.* idem *Euſtath.*

NOTÆ IN SCHOLIA.

386. * Ὀπυίοι) Γαμοῖ, MS. *Aloyſ.* excepto, quòd ibi γάμοι, fortè pro γαμίζοι, cujuſmodi ſatis ibi occurrit.

VARIÆ LECTIONES.

387. Ἀλλὰ βέλεσθε) γρ. ἀλλὰ βόλεσθε, ἀλλ' ἐθέλητε, vid. Not. in *Textum.*

391. Ἐέδνοισιν) γρ ἐίδνοισιν. Vid. ad *Il.* ι'. v. 382. Nec rectè *Etymolog.* M. v. ἔειπεν, contrà militat.

392. Γήμαιτ') γρ γήμαιθ', vid. ad υ'. v. 335.

403. Θέμιστες) γρ. τεμῦροι, τεμῦρα, & τέμυρον vid. Not. in *Textum.*

Αὐτὸς

Αὐτός τε κτενέω, τύς τ' ἄλλυς πάντας ἀνώξω·
Εἰ δέ κ' ἀποσπῶσι Θεοὶ, παύσασθαι ἄνωγα.
Ὣς ἔφαθ' Ἀμφίνομος· τοῖσιν δ' ὀπὶ μῦθος ἄρεσσε.
Αὐτίκ' ἔπειτ' ἀνστάντες ἔβαν δόμον εἰς Ὀδυσῆος,
Ἑλθόντες δ' ἑπάγιζον ἐπὶ ξεστοῖσι θρόνοισιν.
Ἡ δ' αὖτ' ἄλλ' ἐνόησε πεφίδρων Πηνελόπεια,
Μνηστῆρσι φανεῖσα ὑπέρβιον ὕβριν ἔχουσι·
Πεύθετο γὰρ ἡ παιδὸς ἐνὶ μεγάροισιν ὄλεθρον·
Κῆρυξ γάρ οἱ ἔειπε Μέδων, ὃς ἐπεύθετο βουλάς,
[* Αὐλῆς ἐκτὸς ἐών· οἱ δ' ἔνδοθι μῆτιν ὕφαινον.]
Βῆ δ' ἰέναι μεγαρόνδε, σὺν ἀμφιπόλοισι γυναιξίν·
Ἀλλ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
Στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποικιτοῖο,
Ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα·
Ἀντίνοον δ' ἐνένιπεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν,
Ἀντίνοε, ὕβριν ἔχων, κακομήχανε, καί δέ σε Φασὶν
Ἐν δήμῳ Ἰθάκης μετ' ὁμήλικας ἔμμεν' ἄριστον
Βουλῇ καὶ μύθοισι· σὺ δ' οὐκ ἄρα τοῖος ἔησθα.
Μάργε, τίη δὴ σὺ Τηλεμάχῳ θάνατόν τε, μόρον τε

" Ipſeque interficiam, alioſque omnes jubebo:
" Sin avertant Dei, quieſcere ſuadeo.
Sic dixit Amphinomus; atque his placuit verbum.
Statim poſtea quum ſurrexiſſent iverunt in domum Ulyſſis,
Venientes autem ſederunt in politis ſedibus.
At verò aliud excogitavit prudens Penelope,
Procis apparere immenſam injuriam habentibus;
Audivit enim ſui filii in domibus mortem fuiſſe *determinatam*;
Nam Præco ei dixit Medon, qui ſciebat conſilia,
[Quùm extra Aulam eſſet, illi enim intùs conſilium texebant.]
Perrexit igitur ire in domum cum famulis mulieribus:
Sed quando jam procos pervenit divina mulierum,
Stetit ad limen domûs ornatè factæ,
Contra maxillas tenens ornata vela:
Antinoum verò reprehendit, verbumque, dixit ac nominavit,
" Antinoë, injuriam habens, male-cogitans, & jam te dicunt
" In populo Ithacæ inter æquales eſſe optimum
" Conſilio & verbis, tu verò neutiquam talis es.
" Inſane, quid enim tu Telemacho cædemque, mortemque,

ΣΧΟΛΙΑ.

405. * Ἀποτρωπῶσιν.] Ἀποτρέπωσι, καλύσωσιν.
419. Ἐν δήμῳ.] Ἐν τῇ πόλει. Μετ' ὁμήλικας.] Ἐν τοῖς ὁμήλιξι.
420. Ἔησθα.] * Ὑπάρχεις.
421. Μάργε.] Μανιώδης.
* Ità, pro ὑπάρξεις, lego.

NOTÆ.

fol. 545. lin. 4. & fol. 611. lin. 32. Nec tamen *H. Steph.* notavit. Quæ Vox *Lycophroni* nota, v. 223. Τόμυρε, ὡσὸς τὸ λείπω ὑπερτείνω. *Scholia.* Τόμυρε·) Ὁ μάντις, ὁ τὸ μὴ ὂν ὁρῶν, ἤτοι ὁ τὸ μήπω γεγονὸς βλέπων. *Heſychius*, Τόμυροι) Προφῆται, ἱερεῖς, οἰωνοσκόποι, μάντεις. *Strabo*, ibid. Τομύρῳ·) Ὄνομα ὄρους τὸ ὑπεῖρον, ὅπου Διὸς ἱερὸν Δωδωναίου. Quare huic *Lectioni* ſuus debeatur honos. Vid. ad *Var. Lect.* De voce θέμιστες, diximus ad ι'. v. 112. & dicemus ad Hymn. *Apoll.* v. 394.

412. Κῆρυξ γάρ οἱ ἔειπε) Poſt hunc Verſum apud *Euſtathium*, in utrâque Editione, ſequitur alter Verſus, quem, cum *Senſui* ſit neceſſarius, & repetatur in omnibus, ad δ'. v. 678. ſuo loco interſerendum duxi. Quomodò enim *Medon* Præco illorum Arcana audiverit, quùm Proci ex hoc ſuo Concilio, præter ſe, excluſerint omnes; niſi eſſet alicubi extrà Concilii locum, * Αὐλῆς ἐκτὸς ἐών· οἱ δ' ἔνδοθι μῆτιν ὕφαινον. Vid. ad *Var. Lect.* Lego autem ἔνδοθι, non ἔνδοθι, ut malè in Codd. *Euſtath.* quùm ἔνδοθι, pro ἔνδοθεν, *extrà* ſonet, ἔνδοθι, *intrà*.

413. * Αὐλῆς ἐκτὸς ἐών) Vid. Not. ad v. 412.

NOTÆ IN SCHOLIA.

405. * Ἀποτρωπῶσι) Ἀποτρέπωσι, καλύσωσι, & hoc ex MS. *Aloyſii*, niſi quod bis --σι, pro ωσι.

VARIÆ LECTIONES.

404. Αὐτός τε) γρ. Αὐτός δ' ἴ. *Ibid.* Κτενέω) γρ. κτείνω, *Strabo*, l. 7. fol. 526. Edit. ult.

405. Ἀποτρωπῶσι θεοί) γρ. ἀποτροπίσωσι θεοὺς, *Strabo*, ibid. *Ibidem.* Παύεσθαι) γρ. παύεσθαι, *Strabo*, ibid. & παύσεσθαι.

412. Βουλὰς, * Αὐλῆς ἐκτὸς ἐών· οἱ δ' ἔνδοθι μῆτιν ὕφαινον, Βῆ δ' ἰέναι) γρ. Βουλὰς, Βῆ δ' ἰέναι, *H. Steph.* in *Textu*, & v. Αὐλῆς ἐκτὸς, in *Var. Lect.* addit; quùm hic Verſus apud *Euſtath.* vid. Not. in *Textum*.

Ῥάπλεις, ὀδ' ἰκέτας ἐμπάζεαι, οἷσιν ἄρα Ζεὺς
Μάρτυρος; ὀδ' ὁσίη κακὰ ῥάπλεα ἀλλήλοισιν.
Ἦ οὐκ οἶσθ', ὅτε δεῦρο πατὴρ τεὸς ἴκετο φεύγων,
Δῆμον ὑποδδείσας; δὴ γὰρ κεχολώατο λίην,
Οὕνεκα ληϊσῆρσιν ὀπαδόμῳσι Ταφίοισιν
Ἤκαχε Θεσπρωτοὺς· οἱ δ' ἡμῖν ἄρθμιοι ἦσαν·
Τόν ῥ' ἔθελον φῖσαι, καὶ ἀπορραῖσαι φίλον ἦτορ,
Ἠδὲ κατὰ ζωὸν φαγέειν μνησικέα πολλόν·
Ἀλλ' Ὀδυσεὺς κατέρυκε, καὶ ἔσχεθεν, ἱεμένους περ.
Τοῦ νῦν οἶκον ἄτιμον ἔδεις, μνάᾳ τ' ἀλεγεινά,
Παῖδά τ' ἀπαλείφεις, ἐμὲ δ' ὀμεγάλως ἀκαχίζεις.
Ἀλλά σε παύσασθαι κέλομαι, καὶ ἀνωγέμεν ἄλλους.
Τιὼδ' αὖτ' Εὐρύμαχος, Πολύβου παῖς, ἀντίον ηὔδα,
Κύδρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια,
Θάρσει, μή τι τοῦτα μετὰ Φρεσὶ σῇσι μελόντων.
Οὐκ ἔστ' οὔτος ἀνὴρ, οὐδ' ἔσται, οὐδὲ γένηται,
Ὅς κεν Τηλεμάχῳ σῷ ἥβῃ χεῖρας ἐποίσει,
Ζώοντός γ' ἐμέθεν καὶ ἐπὶ χθονὶ δερκομένοιο.
Ὧδε γὰρ ἐξερέω, καὶ μοι τετελεσμένον ἔσται,
Αἶψά οἱ αἷμα κελαινὸν ἐρωήσει περὶ δουρὶ
Ἡμετέρῳ· ἐπεὶ καὶ ἐμὲ πολλὰ πάρος Ὀδυσεὺς
Πολλάκι γούνασιν οἷσιν ἐφεστάμενος, κρέας ὀπτὸν
Ἐν χείρεσσιν ἔθηκεν, ἐπέσχε τε οἶνον ἐρυθρόν.
Τῷ μοι Τηλέμαχος πάντων πολὺ φίλτατός ἐστιν

" Struis, neque ſupplices curas, quibus Jupiter
" Teſtis? minimè juſtum eſt mala ſtruere mutuò.
" An non ſcis, quando huc pater tuus venit fugiens,
" Populum reveritus? jam enim irati erant valdè,
" Quoniam latrones inſequens Taphios
" Affecerat dolore Theſprotos: hi verò nobis amici erant.
" Hunc volebant occidere, & perdere dilectum cor,
" Et facultates conſumere ſufficientes multas;
" Verùm Ulyſſes prohibuit, & detinuit, licet cupientes.
" Hujus nunc domum ignominiosè comedis, procariſque uxorem,
" Filiumque interficis, me verò valdè triſtitiâ afficis.
" Sed te ceſſare jubeo, & jubere alios, *ut ceſſent*.
Hanc rurſus Eurymachus Polybi filius contra alloquutus eſt,
" Filia Icarii, prudens Penelope
" Confide; nec tibi hæc in mentibus tuis curæ ſint:
" Non eſt hic vir, neque erit, neque fuerit,
" Qui Telemacho tuo filio manus inferet,
" Vivo me & ſuper terram vidente.
" Sic enim dicam, & ſanè perfectum erit,
" Statim ejus ſanguis niger fluet circum lanceam
" Noſtram, quoniam & me urbium-populator Ulyſſes
" Sæpè genibus ſuis inſidere faciens carnem aſſatam
" In manibus poſuit, præbebatque vinum rubrum.
" Ideò mihi Telemachus omnium multo chariſſimus eſt

Σ Χ Ο Λ Ι Α.

422. Ῥάπλεις.] Καλῶς σκυδάζεις. Ἰκέτας ἐμπάζεαι.] Τοὺς ἀφαδιχομένους ἱκέτας αὐτόμασεν, ὁμωνύμους αὐτοῖς τοῖς ἱκετεύουσιν, ὡς ἄν τις εἴποι τοὺς ἱκετοδόκους. ὥστως χρῆται λέγων οἱ ὀφειλοντες, καὶ οἱ δανειζοντες.

423. Μάρτυρος.] Μάρτυς καλῶ Ἴωνες. * Οὐδ' ὁσίη.] Οὐ θέμις ἐστίν.

425. Ὑποδδείσας.] Φοβηθείς, εὐλαβηθείς.

426. Ἐπαπόρμῳσι.] Ἐπακολουθοῦσι.

427. Ἄρθμιοι.] Φίλοι.

428. Ἀπορραῖσαι.] Διαφθεῖραι.

429. Ζωὸν.] Τὸν βίον, τὴν οὐσίαν ἀφειλικόν.

431. Ἄτιμον.] Ἀτίμως.

443. Ἐφεστάμενος.] Ἐπικαθίσας.

443. Ἔπεσχε.] Ἐπέδωκεν.

N O T Æ.

425. Δῆμον ὑποδδείσας) Vid. ſuprà, ad v. 4.

441. Αἶψά οἱ αἷμα) Idem Verſus, *Iliad. α'.* v. 303.

NOTÆ IN SCHOLIA.

423. * Οὐδ' ὁσίη) Hoc *Scholion* ex *Aloyſii* MS.

VARIÆ LECTIONES.

423. Οὐδ' ὁσίη) γρ. οὐκ ὁσίη. *Euſtath.* fol. 612. lin. 28. *Ibid.* Ῥάπλειν) γρ. ῥαπλίαν.

425. Ὑποδδείσας) γρ. ὑποδείσας & ὑποδδείσας.

428. Φθῖσαι) γρ. φθῆσαι, *Euſtath.* fol. 612. lin. 35. *Error Preli*, ut puto.

434. Παῖς) γρ. παῖς.

Ἀνδρῶν

Ἀνδρῶν· οὐδέ π μὶν θάνατον προμέεσθαι ἄνωγα
Ἐκ γε μνηστήρων· θεόθεν δ' οὐκ ἔστ' ἀλέασθαι.
Ὣς φάτο θαρσύνων, τῷ δ' ἤρτυνε αὐτὸς ὄλεθρον.
Ἡ μὲν ἄρ' εἰσαναβᾶσ' ὑπερῴϊα σιγαλόεντα,
Κλαῖεν ἔπειτ' Ὀδυσῆα, φίλον πόσιν, ὄφρα οἱ ὕπνον
Ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη.
Ἐσπέριος δ' Ὀδυσῆι ὑὸς ἀγέλη δῖος ὑφορβὸς
Ἦλυθεν· οἱ δ' ἄρα δόρπον ἐπιστάδον ἀπλίζοντο,
Σῦν ἱερεύσαντες ὀπιαύσιον· αὐτὰρ Ἀθήνη
Ἄγχι παριστάμενη Λαερτιάδην Ὀδυσῆα,
Ῥάβδῳ πεπληγυῖα, πάλιν ποίησε γέροντα·
Λυγρὰ δ' εἵματα ἕσσε περὶ χροΐ· μή ἑ συβώτης
Γνοίη ἐσάντα ἰδών, ἠ ἐχέφρονι Πηνελοπείῃ
Ἔλθοι ἀπαγγέλλων, μηδὲ φρεσὶν εἰρύσαιτο.
Τὸν δ' Τηλέμαχος πρότερος προὔφη μῦθον ἔειπεν,
Ἦλθες, δῖ' Εὔμαιε· τί δὴ κλέος ἔστ' ἀνὰ ἄστυ;
Ἦ ῥ' ἤδη μνηστῆρες ἀγαυοὶ ἔνδον ἔασιν
Ἐκ λόχου; ἦ ἔτι μ' αὖτ' εἰρύαται οἶκαδ' ἰόντα;
Τόνδ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα,
Οὐκ ἐμελέν μοι ταῦτα μεταλλῆσαι κατ' ἔρεθος,
Ἄστυ κάτα βλώσκοντα· τάχιστά με θυμὸς ἄνωγεν
Ἀγγελίην εἰπόντα, πάλιν δεῦρ' ἀπονέεσθαι.
Ὠμήρησε δέ μοι παρ' ἑταίρων ἄγγελος ὠκὺς

"Virorum, neque ipsum mortem timere jussi
"A procis; à Deo autem est fugere.
Sic dixit animum-addens; huic tamen ordinârat ipse mortem.
Hæc autem ascendens in cœnacula splendida,
Flebat demùm Ulyssem dilectum maritum; donec ei somnum
Dulcem in palpebris fudit oculis-cæsia Minervâ.
Vespertinus autem Ulyssi & filio divinus subulcus
Venit; bi verò cœnam stando parabant,
Quùm suem sacrificâssent anniculum: at Minerva
Propè stans Laërtiadem Ulyssem,
Virgâ percutiens, iterum fecit senem:
Turpiáque vestimenta induit circùm corpus; nè ipsum subulcus
Cognosceret coram conspicatus, & prudenti Penelopæ
Iret nuncians; neque mentibus custodiret.
Hunc & Telemachus prior verbum alloquutus est,
"Venisti, divine Eumæe; & quis in urbe rumor est?
"Nunquid jam proci superbi intrà venerunt
"Ex insidiis? an adhuc me rursus observant eúntem?
Hunc respondens alloquutus es, ô Eumæe subulce,
"Non curæ erat mihi hæc inquirere & interrogare,
"Civitatem ingresso: citissimè me animus jussit,
"Nuncio perlato, rursus hunc redire.
"Obviavit tamen mihi à sociis *tuis missus* nuncius velox

ΣΧΟΛΙΑ.

446. Τεθμίσας.] Φοβισθῆς.
449. Σιγαλόεντα.] Ποικίλως κατεσκευασμένα.
453. Ἐπισταδόν.] Ἐπισημότερον.
457. Λυγρά.] Εὐτελῆ, ἢ λαμπρά. Χροΐ.] Τῷ σώματι.
459. Εἰρύσαιτο.] Φυλάξαιτο.
466. Βλώσκοντα.] Ἀνόντα, ἢ καταβάντα, ἢ περιόδῳ.
468. Ὠμήρησε.] Ὁμοῦ συνέβαλε, συνέτυχεν.

NOTÆ.

453. Ἐπισταδόν) Hæc *Lectio* simplicitati Rusticæ convenit, at aliam Ω, ἐπὶ σταθμῶν, *Seberus* agnoscit: & *H. Steph. Florentina, Hervagiana, Aldina, Lovaniana Rescii*, habent; *Eustathii* tamen utraque Editio ἐπισταδόν, in *Textu*, & in παρεκβολαῖς.

463. Εἰρύαται) Τετάχται, εἰρημένοι εἰσὶν, ἀντὶ Ω, εἴρυνται. Εἰρύομαι γὰρ, φυλάσσομαι, ἢ λοχῶμαι.

466. Ἄστυ κατὰ βλώσκοντα) *Eustath.* fol. 615. lin. 14. Τὸ δὲ βλώσκοντα, δύναται γραφῆναι καὶ βλώσκοντα, κατὰ πίωσιν δοκιμοῦ, ὃ ἔστιν ἀμφοτέρως ἀσφαλτον. Idem fol. 614. lin. 41. Ἄστυ κατὰβλώσαντα legit in παρεκβολαῖς. Neutram harum *Lectionum* vidit *H. Steph.*

468. Ὠμήρησε δέ μοι παρ' ἑταίρων ἄγγελος ὠκὺς) *Eustath.* fol. 615. lin. 21. Ὠμήρησε δ, ἀντὶ Ω, συνέβαλε.

VARIÆ LECTIONES.

447. Ἔκ γε) γρ. ἔκ τε, *H. Steph. Aldina* Edit. *Ibid.* Ἐς' ἀλέασθαι) γρ. ἔστιν ἀλύξαι.
453. Ἐπισταδὸν) γρ. ἐπὶ σταθμὸν, *H. Steph.* Vid. Not. in *Textum.*
459. Εἰρύσαιτο) γρ. εἰρύσσαιτο, Vett. Codd. *Impressi.*
466. Ἄστυ κατὰβλώσκοντα) γρ. ἄστυ κάτα βλώσκοντα, *Br. Schol.* & κατὰβλώσαντα. vid. Not. in *Textum.*
468. Ὠκὺς) γρ. ἐλθὼν, vid. Not. in *Textum.*

Κῆρυξ, ὃς δὴ πρῶτ' ἔπε' σῇ μητρὶ ἔειπεν.
Ἄλλο δέ τοι τόδε οἶδα, τὸ γὰρ ἴδον ὀφθαλμοῖσιν,
Ἦδη ὑπὲρ πόλεως, ὅθι Ἑρμαῖος λόφος ἐστίν,
Ἦα κιὼν, ὅτε νῆα θοὴν ἰδόμην καλιῆσαν
Εἰς λιμένα ἡμέτερον· πολλοὶ δ' ἔσαν ἄνδρες ἐν αὐτῇ·
Βεβείθει δ' σάκεσσι καὶ ἔγχεσιν ἀμφιγύοισι·
Καὶ σφέας ὠίθην τοὺς ἔμμεναι· οὐδέ τι οἶδα.
Ὣς φάτο· μείδησεν δ' ἱερὴ ἰς Τηλεμάχοιο,
Εἰς πατέρ' ὀφθαλμοῖσιν ἰδών· ἀλέεινε δ' ὑφορβόν.
Οἱ δ' ἐπεὶ οὖν παύσαντο πόνου, τεύχοντό τε δαῖτα,
Δαίνυντ'· οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης·
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
Δὴ τότε κοιμήσαντο, καὶ ὕπνου δῶρον ἕλοντο.

" Præco, qui jam primus rem tuæ matri dixit.
" Aliud verò utique hoc scio, hoc enim vidi oculis,
" Modò super civitate, ubi Hermæus tumulus est,
" Eram progressus, quando navem velocem vidi devenientem
" In portum nostrum, multique erant viri in ipsâ:
" Gravabatur insuper scutis & lanceis utrinque-acutis;
" Et ipsos putavi hos esse, neque aliquid scio.
Sic dixit; risitque sacra vis Telemachi,
Patrem oculis conspicatus; cavit autem subulcum.
Quùm jam igitur cessarent à labore, paraverantque Convivium,
Convivati sunt, neque animus indiguit convivio æquali:
At postquam potûs & cibi desiderium amoverunt,
Jam tunc dormiverunt, & somni donum acceperunt.

ΣΧΟΛΙΑ.

471. Ἦπὲρ πόλεος.] Αἰτὶ Ε, ἔξω τῆς πόλεως. Ἑρμαῖος λόφος] Ὁ σωρὸς τῶν λίθων ἐν ταῖς ὁδοῖς, Ἑρμαῖον ὀνομάζεσθαι. ἢ παῖδος ἰάματος βωμός· ἢ λόφος Ἑρμαίου· ἢ ὡς ἐπί τινος λόφου Ἑρμοῦ ἱδρυμένου. * Ἑρμῆς, καθὰ Διὸς κέλευσιν ἀγγέλων Ἄργου, τὸν τοῦ Ἰοῦς φύλακα, ἤγαγε ὑπὸ δίκλου, Ἥρας αὐτὸν καὶ τοῖς ἄλλοις ἀγαγόντων θεοῖς εἰς κρίσιν, ὅτι σχοῦσα ἐπιβουλὴν δαιμόνων θνητῶν μιάστορα τὸν Ἄργον, καὶ ἀνηρηκὼς κέλευσιν ἦν τὰς θεὰς εὐλαβεῖσθαι μὴ τὸν Δία, τὸ ὑποδίκιον χαρίσηται τὴν Ἑρμῆν ταῖς ἑαυτοῦ παραγγελίαις· ἄμα ἦν * ἀφυσιωμένους τὸ ἄγος, καὶ τὸν ἀνδροφονίας ἀπολύοντας, αἷς εἶχον ὀργὴν ἀφοσιωσόμενοι αὐτοὺς τὰς ψήφους, καὶ ὅτως ἐπιστρέψεσθαι * πρὸς τοὺς πρώτους Ἑρμοῦ ψήφους πλησθέν τὸν καὶ τοὺς ἀνθρώπους ἄγειν. Ἔστι δὲ νῦν, εἰς τιμὴν τοῦ Ἑρμοῦ καὶ τὰς ὁδούς, ἀπὸ τοῦ τὸν ἥλιον εἶναι τύπτων καθημερινὰ, καὶ * ἐπίτροπον τὸν ἀδημιούργων, σωροὺς πωεῖν λίθων. Ἐκ ἀφθονίας προβάλλειν λίθους, * καὶ τούτους καλεῖν Ἑρμαίους λόφους· ἔστι δὲ λόφος, πᾶν τὸ εἰς ὕψος μετέωρον. ἢ ἡ ἱστορία παρὰ Ἀντικλείδῃ.

474. Βεβείθει.] Ἐβεβαρήθη, ἐπιπλέοντο.

475. Ὠίθην.] Ὑπενόησα.

478. Πόνου.] Τοῦ περὶ τὸ δεῖπνον.

NOTÆ.

471. Ἦδη ὑπὲρ πόλεως· ὅθι Ἑρμαῖος λόφος ἐστίν) Cùm olim πόλιος legeretur in hoc loco, licet illius vocis *Ultima* produci posset, in *Cæsurâ*, ante *Punctum*, & *Asperum* cum *Acuto*, ego πόλεως potiùs hìc scribo, ut & olim *Iliad.* λ'. v. 168. Ἰάμβοι πόλεως· ὁ δ' κεκλημένος ἔπλ' αὐτῷ. Et certum est, multas *Lectiones* in *Odysseâ* & emendari posse, & debere, ex *Iliade*. *Ibid.* Ἑρμαῖος λόφος) Præter *Brev. Schol.* vid. *Eustath.* fol. 615. lin. 24. *Hesych. Suid. Etymolog.* M. & *Elia Schedii* Syntagma §. 2. c. 23. p. 344.

ἦσαν, ὁμοῦ γίγνεται· ὡς χαῖρ, Οἶνος, οἰνηρός. Οἴσυπος, αἰσυπηρός, ἐξ οὗ ἔστι αἰσυπηρὰ, τὰ ῥυπώδη· ἅτινα φασὶν, ἐκ τοῦ Ὁμὸς, Ὅμηρος, ὅθεν Ὁμηρῷ ῥῆμα, τὸ συναθροίζω· δεκτὸν δὲ καὶ ἄλλως ἡ λέξις μετῆχθαι, ἀπὸ τοῦ ὁμοῦ ἱστορούντων, ἢ συναγηγέρτων· Ὅμηρον δὲ ἔφασαν, ἐξ οὗ καὶ τὰ ἐπὶ Εἰρήνῃ λεγόμενα Ὅμηρα, εἶτεν οἱ Ὁμηροι. *Harpocration*, v. Ὁμηρεύσοντες. hunc Versum laudans, ὁ ἰλθὼν, pro ἀκὺς, legit, paulò commodius, ut mihi videtur; quare *Lectio* saltem Notanda. Vid. *Hesiod.* Theogon. v. 39. Φωνῇ ὁμηρεύσας.

NOTÆ IN SCHOLIA.

471. Ἑρμαῖος λόφος) In hoc *Scholio*, ubi totus hic Versus occurrebat ἀποσοβιούσας, * deleo: pro ἀφυσιωμένους, lego * ἀφυσιωμένους, pro πρὸς τοὺς Ἑρμοῦ, ex *Aloysii* MSto, * πρὸς τοὺς πρώτους Ἑρμοῦ, paulò post, pro τροπον τὸν ἀδικούντων, lego * ἐπίτροπον τὸν ἀδημιούργων (malè enim MS. ἀνδημιούντων) & ante τύπτων καλεῖν, addo * καὶ, ex MS. eodem.

VARIÆ LECTIONES.

471. Πόλιος) γρ. πόλιος, Vett. *Impressi*, vid. Not. in *Textum*. *Ibid.* Ἑρμαῖος) γρ. ἕρμαιος. *Philoponus* Grammaticus, apud *Eustath.* fol. 615. lin. 25.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Ρ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Ρ'.

Ἐις τὸν πόλιν ἐλθὼν Τηλέμαχος διηγεῖται τῇ μητρὶ Πηνελόπῃ τὴν ἀποδημίας τὴν κεφάλαια· ὕστερον δὲ Ὀδυσσεὺς ἀχθεὶς ὑπὸ Εὐμαίου εἰς Ἰθάκην ἀπὸ τῶν ἀγρῶν, εἰς τὸ συμπόσιον τῶν μνηστήρων εἰσέρχεται· ὁ δὲ Ποιητὴς ἀπαγγέλλει, πῶς ὁ κύων ἀναγνωρίζει τὸν δεσπότην· καὶ ὡς Εὔμαιος μὲν εἰς τὴν ἀγρὸν ὑποστρέφει, Ὀδυσσεὺς δὲ ἐν αὐτοῖς μένει.

Ἐπιγραφή.

Ἐπάνοδος Τηλεμάχου εἰς Ἰθάκην

Ἄλλως.

Ῥῶ βάλες, αἰπόλε τε, μνηστὴρ τε, κύων τε ἀνίγνω. Lib. XVII.

ΗΜΟΣ δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Δὴ τότ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα,
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο·
Εἵλετο δ' ἄλκιμον ἔγχος, ὅ οἱ παλάμηφιν ἀρήρει,
Ἀσπὶς ἐμμενές, ᾗ εὖον ἐποίσεται συβώτῃ,
Ἄστυ, ἧτοι μὲν ἐγὼν εἶμ' ἐς πόλιν, ὄφρα μὲ μήτηρ
Ὄψεται· οὐ γάρ μιν πρόσθεν παύσεται, οἰῶ
Κλαυθμῷ τε στυγερῷ, γοόιό τε δακρυόεντος,
Πρίν γ' αὐτόν μ' ἐσίδῃσι· ἀτὰρ σοί γ' ὧδ' ὀπιτέλλω,
Τὸν ξεῖνον δύσηνον ἄγ' ἐς πόλιν, ὄφρ' ἂν ἐκεῖθι
Δαῖτα πτωχεύσῃ· δώσει δέ οἱ, ὅς κ' ἐθέλῃσι,
Πύρνον καὶ κοτύλιον· ἐμὲ δ' οὔπως ἐστὶν ἅπαντας
Ἀνθρώπους ἀνέχεσθαι, ἔχοντά περ ἄλγεα θυμῷ.
Ὁ ξεῖνος δ' εἴ περ μάλα μιλτίῃ, ἄλγιον αὐτῷ

QUando jam matutina apparuit roseis digitis Aurora,
Jam tunc postea sub pedibus ligavit pulchra calceamenta
Telemachus dilectus filius Ulyssis divini;
Accepit etiam validam lanceam, quæ ejus manibus congrueret,
Ad civitatem iturus, & suum alloquutus est subulcum,
" Tu, certè quidem ego vado in civitatem, ut me mater
" Videat, non enim ipsam antè cessare puto
" Fletúque odioso, luctúque lacrymoso,
" Quàm ipsum me inspiciat; sed tibi sic præcipio,
" Hunc hospitem infelicem duc in civitatem, ut illic
" Victum mendicet; dabit autem ei quicunque voluerit,
" Panem & poculum: me enim nequaquam licet omnes
" Homines sustinere, habentem utique dolores animo.
" Sin ipse hospes valdè irascetur, gravius ipsi

ΣΧΟΛΙΑ.

4. Παλαμῄφιν.] Ταῖς χερσί.
11. Δαῖτα πτωχεύσῃ.] Τὸ ὡσὲ πτωχὸν ἐπαιτεῖν.
13. Ἀνέχεσθαι.] Ὑποδέχεσθαι.
14. Μιλτίῃ.] Ὀργισθῇ.

Variæ Lectiones.

V. 9. Πρίν γ' αὐτόν μ' ἐσίδῃσι) γρ. πρίν γ' αὐτόν μ' ἐσιδέσθαι, *Eustath.* fol. 616. lin. 44.

Ἔασε)

15 Ἔσεσθ'· ἦ γὰρ ἐμοὶ φίλ' ἀληθέα μυθήσασθαι.
Τόνδ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Ὦ φίλος, οὐδέ τοι αὐτὸς ἐρύκεσθαι μενεαίνω
Πτωχῷ βέλτιόν ἐστι κατὰ πόλιν, ἠὲ καὶ ἀγρούς,
Δαῖτα πτωχεύειν· δώσω δέ μοι, ὅς κ' ἐθέλησιν.
20 Οὐ γὰρ ἔπι ταθμοῖσι μενέμεν ἔπι τηλίκος εἰμί,
Ὡς τ' ἐπιειλαμένῳ σημάντορι πάντα πιθέσθαι.
Ἀλλ' ἔρχευ· ἐμὲ δ' ἄξει ἀνὴρ ὅδε, ὃν σὺ κελεύεις,
Αὐτίκ', ἐπεί με πυρὸς θερέω, ἁλέη τὲ γένηται·
Αἰνῶς γὰρ τάδε εἵματ' ἔχω κακά· μή με δαμάσσῃ
25 Στίβη ὑπηοίη· ἔχαδεν δέ τοι ἄκρυ φάτ' εἶναι.
Ὣς φάτο· Τηλέμαχος δὲ διὰ ταθμοῖο βεβήκει,
Καμπὰ ποσὶ προβιβάς· κακὰ δ' μνηστῆρσι φύτευεν.
Αὐτὰρ ἐπεί ῥ' ἵκανε δόμους εὖ ναιετάοντας,
Ἔγχος μὲν ῥ' ἔστησε φέρων πρὸς κίονα μακρὴν,
30 Αὐτὸς δ' εἴσω ἴεν, κὴ ὑπέρβη λάϊνον οὐδόν.
Τόνδε πρὼ πρώτη εἶδε προφὸς Εὐρύκλεια,
Κώεα καταρυδσα θρόνοις ἔνι δαιδαλέοισι·
Δακρύσασα δ' ἔπειτ' ἰθὺς κίεν· ἀμφὶ δ' ἄρ' ἄλλαι

" Erit; certè enim mihi amicum vera loqui.
Hunc respondens allocutus est prudens Ulysses,
" O amice, neque ipse detineri cupio:
" Pauperi melius est in civitate, quàm in agris,
" Cibum mendicare; dabit etenim mihi quicunque voluerit.
" Non enim stabulis manere amplius aptus sum,
" Ut præcipienti Hero in omnibus paream.
" Sed vade; me autem ducet vir hic, quem tu jubes.
" Statim, postquam incaluero, tepórque factus fuerit;
" Valdè enim hæc vestimenta habeo mala, nè me violet
" Frigus submatutinum; procul enim civitatem dicitis esse.
Sic dixit, Telemachus verò ex stabulo egressus est,
Velocitèr pedibus procedens; mala etenim procis meditabatur.
Sed postquam pervenit domos benè habitatas,
Lanceam quidem posuit portans ad columnam longam,
Ipseque intrò ivit, & transivit lapideum limen.
Hunc longè prima vidit nutrix Euryclea,
Pelles sternens sedibus in variegatis:
Lacrymansque statim rectà ivit, circumque aliæ

ΣΧΟΛΙΑ.

17. Ἐρύκεσθαι.] Κατέχεσθαι.

20. Τηλίκος.] * Τῆς δεύτης ἡλικίας.

21. Σημάντορι.] Τῷ ἐπιτάττοντι, ἢ ἐπιστάτῃ.

23. Πυρὸς θερέω.] Πυρὶ θερμαινῶ. Ἁλέη.] Ἡ θερμασία ἢ ἡλίου· σημαίνει καὶ τὴν ἀπόφυγήν.

25. Στίβη ὑπηοίη.] Ὁ πρωϊνὸς ὁ ὀρθρινός.

26. Βεβήκει.] Ἐπορεύετο.

30. Αὐτὸς δ' εἴσω ἴεν.] Ἐνήλατο ἡ πάλιν· τὸ γὰρ ἐξῆς, Αὐτὸς δ' ὑπέρβη λάϊνον οὐδὸν, καὶ εἴσω ἦεν.

32. Κώεα.] Προβάτων δορὰς. Καταρυδσα.] Καταστρωννύουσα.

NOTÆ.

V. 15. Ἐμοὶ φίλ' ἀληθέα μυθήσασθαι) *Eustath.* fol. 617. lin. 22. Τὸ δὲ, Φίλ' ἀληθέα μυθήσεσθαι, ἢ Ἀττικῶς, ἀντὶ δὲ, φίλον ἐστὶ, πάλιν δὲ εἰπεῖν· ἢ, φίλα τ' ἀληθῆ, ὥστε εἰπεῖν αὐτά.

19. Ὅς κ' ἐθέλησιν) Ità pro, ὅς κε θέλησιν, & hìc scribo, ut & olim suprà, v. 11. & infrà, v. 559. Vid. ad *Iliad.* α'. v. 277. & ad *Odyss.* ο'. v. 316.

33. Ἔπειτ' ἰθὺς) Ità audaciùs, pro ἔπειθ' ἰθὺς, lego; cùm prior δ ἰθὺς, & *Derivatorum* semper producatur, ut in ἰθύνω, ut *Iliad.* ζ'. v. 3. Ἀλλή-

NOTÆ IN SCHOLIA.

V. 20. * Pro τῆς δεύτης ἡλικίας, *Meric. Casaubon.* §. 1. De nuperâ *Homeri* Editione, p. 58. legendum statuit, τῆσδε ὕστης ἡλικίης, quod vix admitto; quoniam τῆσδε non est Vox *Prosaica*, & quòd MS. nostrum, *Casaubono* ignotum, veterem lectionem confirmet, & *Eustathii* τοιαύτης ἡλικίης contrà putius militet; rectè etiam dicitur, Τηλίκος εἰμὶ, τυτέστι, τῆς δεύτης ἡλικίας εἰμὶ, hoc certè in loco.

23. * Πυρὶ θερμανῶ) Ità, pro corrupto καθερμανῶ, licet in hâc parte MS. *Aloysii* laboret, ut sæpè aliàs. Et *Eustathius* fol. 617. lin. 46. Ἐπεί κε πυρὸς θερέω) ἤγουν ἁλὸς πυρὸς θερμανῶ.

32. * Καθαστρωννύουσα, pro corrupto, καταστρωννῦσα, lego.

VARIÆ LECTIONES.

19. Ὅς κ' ἐθέλησιν) γρ. ὅς κε θέλησιν, vid. Not. in *Textum.*

25. Στίβη ὑπηοίη) γρ. σίβη ὑπ' ἠοίῃ, *Florentin.* & *Lovan.* at ὑπ' ἠοίῃ, MS. CCC. *Cantabr.*

33. Ἔπειτ' ἰθὺς) γρ. ἔπειθ' ἰθὺς, vid. Not. in *Textum.*

Δμωαὶ

Δμωαὶ Ὀδυσῆος ταλασίφρονος ἠγερέθοντο,
Καὶ κύνεον ἀγαπαζόμεναι κεφαλήν τε ἠδ' ὤμους·
Ἡ δ' ἴεν ἐκ θαλάμοιο θεὶφρων Πηνελόπεια,
Ἀρτέμιδι ἰκέλη, ἠδὲ χρυσέῃ Ἀφροδίτῃ·
Ἀμφὶ δ' ἄρα παιδὶ φίλῳ βάλε πήχεε δακρύσασα.
Κύσσε δέ μιν κεφαλήν τε ἠδ' ἄμφω φάεα καλὰ,
Καί ῥ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα.
Ἦλθες, Τηλέμαχε, γλυκερὸν φάος· οὔ σ' ἔτ' ἔγωγε
Ὄψεσθαι ἐφάμην, ἐπεὶ ᾤχεο νηὶ Πύλονδε
Λάθρη, ἐμεῦ ἀέκητι, φίλου μετὰ πατρὸς ἀκουήν·
Ἀλλ' ἄγε μοι κατάλεξον, ὅπως ἐπύθεσθον ὀπωπῆς.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Μῆτερ ἐμή, μή μοι γόον ὄρνυθι, μηδέ μοι ἦτορ
Ἐν στήθεσσιν ὄρινε, φυγόντι περ αἰπὺν ὀλέθρον·

Ancillæ Ulyssis patientis congregatæ sunt,
Et osculatæ sunt amplectentes caputque & humeros:
Perrexit autem è thalamo prudens Penelope,
Dianæ similis, & aureæ Veneri:
Circumque filium dilectum jecit brachia lacrymans,
Et osculata est ipsiusque caput & ambo lumina pulchra,
Et lugens verba velocia alloquuta est,
" Venisti, Telemache, dulce lumen: non te amplius ego
" Videre putabam, postquam ivisti nave Pylum
" Clàm, me invitâ, dilecti ad patris auditionem:
" Sed agè mihi narra, quomodo obvius venisti aspectui?
Hanc rursus Telemachus prudens contrà alloquutus est,
" Mater mea, nè mihi luctum excita, neque mihi cor
" In pectoribus commove, fugienti licet gravem mortem;

ΣΧΟΛΙΑ.

35. Κύσσεν.] Ἐφίλησε. Ἀγαπαζόμεναι.] Περιπτυσσόμεναι.
37. Χρυσῇ.] Καλῇ, χρυσοφόρῳ.
46. Ὄρνυθι.] Ἔγειρε.
47. Ὄφρα.] Τάχιστα.

NOTÆ.

λων ἰθυπομένων χαλκήρεα δοῦρα. Quare *Iliad.* ρ'. v. 632. πάντ' ἰθύνει, legendum, pro πάντα ἰθύνει, quod in Nonnullis malè hactenùs obtinuit. Ità *Odyss.* φ'. v. 44. —ἐπὶ σταθμὰ ἰθύνῃ, & χ'. v. 8. Ἦ, ἐπ' Ἀντινόῳ ἰθύνετο πικρὸν ὀϊστόν. Ità ψ'. v. 207. ut nos ex Editione *Florentinâ* legimus, Δακρύσασα δ' ἔπειτ' ἰθὺς κίεν. Scribitur enim in omnibus, ad α'. v. 101. Τὼ δ' ἄρα βαμβήσαντ' ἰθὺς κίον, item v. 240. Τὰ φρονέων ἰθὺς κίεν αὐτῆς· & v. 396. Ὣς ἄρ' ἔφη· Δολίῃ δ' ἰθὺς κίε. Ità *Iliad.* δ'. v. 507. Ἴθυσον δ' πολὺ φωτέρῳ. Ità *Hesiod.* l. 1. v. 7. Ῥεῖα δέ τ' ἰθύνῃ, & *Herc. Scut.* v. 97. Malè itaque *Duportus*, Proverb. *Salomon.* c. 23. v. 19. Καὶ πεπυμένῳ ἴσον, καὶ εἰν ὁδῷ ἦτορ ἰθύνει. Contrà enim, *Homerus* certè, *Iliad.* & *Odyss.* plus Quinquagies. Hæc nostra confirmantur, à *Philippo Labbæo*, in Thesauro-Profodico, *Graco-Latino*, v. Ἰθύνω.

37. Ἀρτέμιδι ἰκέλη, ἠδὲ χρυσέῃ Ἀφροδίτῃ) *Ultima* Ἀρτέμιδι producitur, ob *Cæsuram* & *Hiatum*, pro ἠδὲ, autem puto legendum, ἠδὶ, alterutrà nempè Dearum, non simul Ambabus. Quanquam potuit etiam Duabus hisce Deabus simul *Penelopam* comparare Poeta, ob diversas prorsùs rationes, ob *Castitatem* nempè, *Dianæ*, *Veneri*, ob *Formam*. Certè ad τ'. v. 54. ubi idem Versus iterum occurrit, *Latina Versio* & olim habuit, *vel*, quasi ἠὲ legeretur. Χρυσέῃ, & χρυσῇ, Ὁμηρικώτερον.

39. Κύσσε δὲ μιν κεφαλήν τε, καὶ ἄμφω φάεα καλά) Ità hunc *Versum* lego, emendo & suppleo, ad exemplar *Homericum*, quod extat suprà, π'. v. 15. ubi & τὲ, quod hìc omittebatur, rectè aderat. Ità apud *Orpheum*, sive *Onomacritum*, in *Argonaut.* osculatur *Peleus Achillem*, κεφαλὴν ἐ ὄμματα καλά. *Eustath.* fol. 618. lin. 19. Καὶ ἴσως ὁμωνύμεις τις σοπῦσι ἐποι ἂν κυρίως φιλεῖν, τὸ ἀμφῦσαι ἄλλοις, εἶτα καὶ ἄμφω φάεα καλὰ ἐφιλῆσαι. Hinc *Catullus* ad *Veranium*, Jucundum os oculosque suaviabor. Vid. *André. Schott.* Observat. l. 2. c. 36.

41. Οὔ σ' ἔτ' ἴωγε) Ità lego, pro, ἔ σέ τ' ἴωγε, quod priùs malè distinguebatur; cum vox ἴωγε sit necessaria; ut ex Versione apparet.

VARIÆ LECTIONES.

36. Ἦ δ' ἴεν ἐκ θαλάμοιο) γρ. βῆ δ' ἴέναι θαλάμοιο, *H. Steph.*
37. Ἠδὲ) γρ. ἠδὶ. vid. Not. in *Textum*.
Ibid. Χρυσέῃ) γρ. χρυσῇ. vid. in *Textum*.
38. Φίλῳ) γρ. φίλου, *Eustath.* fol. 618. lin. 29. Ἴσθι δ', ὡς ὅτι ἐν τῷ, Ἀμφὶ παιδὶ φίλῳ βάλε πήχεε, δύναται τὸ φίλου, ἐ τῷ παιδὶ προσκεῖσθαι, καὶ δύκαῖος, λέγεσθαι ἀντὶ τοῦ πήχεε· καθότι καὶ φίλαι πῆχεις, καὶ φίλη χεὶρ λέγεται.
39. Κύσσε) γρ. κῦπε, *Eustath.* & κύσε, vid. Not. in *Textum*, ad π'. v. 15.
41. Οὔ σ' ἔτ') γρ. ἔ σέ τ', vid. Not. in *Textum*.

Ἀλλ'

Ἀλλ' ὑδρηναμένη, καθαρὰ χροΐ εἵματ' ἑλοῦσα,
Εἰς ὑπερῷ' ἀναβᾶσα, σὺν ἀμφιπόλοισι γυναιξὶν,
Εὔχετο πᾶσι θεοῖσι, τελήεσσας ἑκατόμβας
Ῥέξειν, αἴκε πόθι Ζεὺς ἄντια ἔργα τελέσσῃ.
Αὐτὰρ ἐγὼν ἀγορήνδε ἐλεύσομαι, ὄφρα καλέσσω
Ξεῖνον, ὅτις μοὶ κεῖθεν ἅμ' ἕσπετο δεῦρο κιόντι.
Τὸν μὲν ἐγὼ πρόπεμψα σὺν ἀντιθέοις ἑτάροισι·
Πείραιον δέ μιν ἠνώγεα προτὶ οἶκον ἄγοντα
Ἐνδυκέως φιλέειν καὶ πέμπειν, εἰσόκεν ἔλθω.
Ὣς ἄρ' ἐφώνησεν· τῇ δ' ἄπλετος ἔπλετο μῦθος,
Ἡ δ' ὑδρηναμένη, καθαρὰ χροΐ εἵματ' ἑλοῦσα,
[*Εἰς ὑπερῷ' ἀναβᾶσα, σὺν ἀμφιπόλοισι γυναιξὶν,]
Εὔχετο πᾶσι θεοῖσι, τελήεσσας ἑκατόμβας
Ῥέξειν, αἴκε πόθι Ζεὺς ἄντια ἔργα τελέσσῃ.
Τηλέμαχος δ' ἄρ' ἔπειτα δι' ὤκα μεγάροιο βεβήκει,
Ἔγχος ἔχων· ἅμα τῷ γε κύνες πόδας ἆγοι ἕποντο.
Θεσπεσίην δ' ἄρα τῷγε χάριν κατέχυθεν Ἀθήνη·
Τὸν δ' ἄρα πάντες λαοὶ ἐπερχόμενον θηεῦντο.
Ἀμφὶ δέ μιν μνηστῆρες ἀγήνορες ἠγερέθοντο,
Ἔσθλ' ἀγορεύοντες, κακὰ δὴ φρεσὶ βυσσοδομεῦντο.
Αὐτὰρ ὁ τῶν μὲν ἔπειτα ἀλεύατο πυκνὸν ὅμιλον,
Ἀλλ', ἵνα Μέντωρ ἦεν, ἠδ' Ἄντιφος, ἠδ' Ἁλιθέρσης,
Οἵ τε οἱ ἐξ ἀρχῆς πατρώιοι ἦσαν ἑταῖροι,
Ἔνθα καθέζετ' ἰών· τοὶ δ' ἐξερέφνων ἔκαζα.
Τοῖσιν δ' ἐπὶ Πείραιος δουρικλυτὸς ἐγγύθεν ἦλθεν,

" Sed lota puris corpori veſtimentis captis
" In chalcidicum aſcendens cum famulis mulieribus,
" Vove omnibus Diis perfectas hecatombas
" Sacrificare, ſicubi Jupiter perfecerit, ut vices rependantur.
" At ego ad concionem ibo; ut vocem
" Hoſpitem, qui me illinc ſimul ſecutus eſt huc venientem.
" Hunc quidem ego præmiſi cum divinis ſociis;
" Piræumque ipſum juſſi ad domum ducentem
" Accuratè tractare & honorare; donec veniſſem.
Sic loquutus eſt; huic verò firmum fuit verbum.
Hæc igitur lota, pura corpori veſtimenta capiens,
[In chalcidicum aſcendens, cum famulis fœminis,]
Vovit omnibus Diis perfectas hecatombas
Sacrificare, ſicubi Jupiter perfecerit, ut vices rependantur.
Telemachus autem ſtatim ex domo ivit,
Lanceam habens: ſimul hunc canes pedibus veloces ſequebantur.
Divinam huic gratiam perfudit Minerva:
Hunc ergo omnes populi advenientem admirabantur.
Circum verò ipſum proci ſuperbi congregati ſunt,
Felicia illi optantes, malè autem mentibus meditabantur.
At hic horum quidem ſtatim declinabat frequentem turbam;
Sed, ubi Mentor ſedebat, & Antiphus, & Halitherſes,
Qui ei à principio paterni erant amici,
Illic ſedit iens; aſt illi interrogabant ſingula.
Ad hos Peiræus lanceâ-inclytus juxta venit,

Σ Χ Ο Λ Ι Α.

51. Ἄντια.] Ἀντιμαίρηται.

57. Ἄπλετος μῦθος.] Ἤτοι ἰσόπλευρος, ταχὺς ἢ εὐπαίδευτος ὁ λόγος, ἀλλ' ὑπέμεινεν, μὴ ἔχων πλειόνα.

λέγει δέ, ὅτι * φερόμενος τὸν λόγον, ταχέως ἤκουσεν· Ἡρωδιανὸς δέ, ἔτυμος λέγει.

N O T Æ.

57. Ἄπλετος ἔπλετο μῦθος) Vid. *Etymolog.* M. v. Ἄπλετος.

59. *Εἰς ὑπερῷ' ἀναβᾶσα, σὺν ἀμφιπόλοισι γυναιξὶν) Hic Verſus omninò repeti debet, & poni ante ſequentem, ut ſuprà, v. 49. Eadem eſt ratio enim, ut omnes ſimul iterum hìc occurrant non ut hìc unus excidat, quare reponimus in *Textum*. Vid. ſuprà, ad π'. v. 413.

NOTÆ IN SCHOLIA.

57. * Περόμενος, ad finem *Scholii*, ex *Aloyſii Alemanni* MS. addo. *Euſtath.* fol. 618. lin. 45. Κεῖται δὲ τὸ, ἄπλετος ἔπλετο μῦθος, εἰς ἴσον τῷ, ταχέως φερόμενος. φασὶ, τὸν λόγον.

VARIÆ LECTIONES.

67. Ἔπειθ' ἀλεύατο) γρ. ἔπειθ' ὑπαλεύατο.

58. Ἡ δ' ὑδρηναμένη — * Εἰς ὑπερῷ' ἀναβᾶσα — Εὔχετο) γρ. ἡ δ' ὑδρηναμένη — Εὔχετο.

Ξεῖνον ἄγων ἀγορηνδε διὰ πτόλιν· ὐδ' ἄρ' ἔπ δηὼ
Τηλέμαχος ξείνοιο ἑκὰς τεράπε', ἀλλὰ παρείπη.
Τὸν δ' Πείραιος πρότερος προς μῦθον ἔειπεν,
Τηλέμαχ', αἶψ' ὄρσωον ἐμὸν ποτὶ δῶμα γυναῖκας,
Ὡς τοι δῶρ' ἀποπέμψω, ἃ τοι Μενέλαος ἔδωκε.
Τόνδ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Πείραι', ὐ γάρ τ' ἴδμεν, ὅπως ἔσται τάδε ἔργα·
Εἴ κεν ἐμὲ μνηστῆρες ἀγήνορες ἐν μεγάροισι
Λάθρη κτείναντες, πατρῷα πάντα δάσωνται,
Αὐτὸν ἔχοντά σε βύλομ' ἐπαυρέμεν, ἤ τινα τῶνδε.
Εἰ δέ κ' ἐγὼ τούτοισι φόνον καὶ κῆρα φυσίζοω,
Δὴ τότε μοὶ χαίροντι φέρειν πρὸς δώματα χαίρων.
Ὡς εἰπὼν, ξεῖνον ταλαπείριον ἦγεν ἐς οἶκον.
Αὐτὰρ ἐπεί ῥ' ἵκοντο δόμους εὖ ναιετάοντας,
Χλαῖναν μὲν κατέθεντο καὶ κλισμούς τε, θρόνους τε·
Ἐς δ' ἀσαμίνθους βάντες εὐξέσας λόσαντο.
Τοὺς δ' ἐπεὶ δὴ δμῳαὶ λοῦσαν, καὶ χρῖσαν ἐλαίῳ,
Ἀμφὶ δ' ἄρα χλαίνας οὔλας βάλον, ἠδὲ χιτῶνας,
Ἐκ ῥ' ἀσαμίνθων βάντες ἐπὶ κλισμοῖσι κάθιζον.
Χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα,
Καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
Νίψασθ'· πὰρ δ' ξεστὴν ἐτάνυσσε τράπεζαν.
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
Εἴδατα πολλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
Μήτηρ δ' ἀντίον ἷζε θύρῃ ἐπὶ θαλάμου μεγάροιο,

Hospitem ducens ad concionem per civitatem: neque adhuc diù
Telemachus ab hospite longe versus est, sed astitit.
Hunc & Peiræus prior verbum alloquutus est,
" Telemache, statim concita meam ad domum mulieres,
" Ut tibi dona mittam, quæ tibi Menelaus dedit.
Hunc rursus Telemachus prudens contrà alloquutus est,
" Peiræe, non utique scimus, quomodo erunt hæc opera.
" Si me preci superbi in domibus
" Clam interfecto, paterna omnia dividant,
" Ipsum habentem te malo frui, quàm aliquem horum.
" Sin ego his cædem & mortem struxero,
" Jam tunc mihi gaudenti porta ad domos gaudens.
Sic loquutus, hospitem miserum duxit in domum.
At postquam venerunt domos benè-habitatas,
Vestem quidem deposuerunt in lecticisque, sedibusque,
Inque balnea euntes benè-polita lavârunt se.
Hos postquam famulæ laverant & unxerant oleo,
Et circum vestes pretiosas jecerunt & interulas,
E balneo quidem euntes in sedibus sederunt.
Aquam igitur lavandis manibus serva gutturnio infudit portans,
Pulchro, aureo, super argenteo lebete,
Ad lavandum: juxtaque politam explicabat mensam.
Panem igitur verecunda dispensatrix apposuit portans,
Cibis multis impositis, largiens de præsentibus.
Mater verò contrà sedit ad valvas domûs,

Σ Χ Ο Λ Ι Α.

73. Τεράπε.] Ἐτεράπη.
75. Ὄτρυνον.] Ἔπειξον.
81. Ἐπαυρέμεν.] Ἐπιτυφῆσαι.
95. Παρεόντων.] Τῶν παραβρόντων, καὶ ταχέως μὴ σπουδῶντων.

N O T Æ.

81. Αὐτὸν ἔχοντά σε βύλομ' ἐπαυρέμεν, ἤ τινα τῶνδε) Nota Ἀντωνυμίαν, αὐτὸν σὲ, pro σεαυτὸν. De βύλομαι, pro *Malo*, diximus, ad π'. v. 106.

88. Τόσσ' ἐπὶ ἓν δμωαὶ) Mirum, hucusque vocem ἐπὶ, quæ per Errorem in *Lovanianam* irrepsit, in *H. Stephani* Editione inemendatam hæsisse; etiam in alios hunc errorem profluxisse, viz. *Castellionem*, *Spondanum*, *Elzevirium*, *Oxonienſem*, &c. Verùm ex *Florentinâ*, *Aldinâ*, Utrâque *Eustathii*, *Romanâ* & *Basileensi*, *Frobenianâ*, veram *Lectionem*, ἐπὶ, restituo, *Sensu* omninò flagitante, & *Locis* parallelis; ut mox, v. 226. Ἀλλ' ἐπὶ ἓν δὴ ἔργα, κλ.

Variæ Lectiones.

80. Δάσωνται) κ. δάσωνται, non malè.

88. Τόσσ' ἐπὶ) κ. τὰς δ' ἐπὶ, vid. Not. in *Textum*.

Κλισμῷ κεκλιμένη, λέπτ' ἠλάκατα τροφόωσα.
Οἱ δ' ἐπ' ὀνείατ' ἐτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
Τοῖσιδε μύθων ἦρχε πολύφρων Πηνελόπεια,
Τηλέμαχε, ἦτοι ἐγὼν ὑπερῴϊον εἰσαναβᾶσα
Λέξομαι εἰς εὐνήν, ἣ μοι γοόεσσα τέτυκται,
Αἰεὶ δάκρυσι' ἐμοῖσι πεφυρμένη, ἐξ οὗ Ὀδυσεὺς
Ὤϊχετ' ἅμ' Ἀτρεΐδῃσιν ἐς Ἴλιον· οὐδέ μοι ἔτλης,
Πρὶν ἐλθεῖν μνηστῆρας ἀγήνορας εἰς τόδε δῶμα,
Νόστον σοῦ πατρὸς σάφα εἰπέμεν, εἴπερ ἄκουσας.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Τοὶ γὰρ ἐγώ τοι, μῆτερ, ἀληθείην καταλέξω·
Ἤϊχόμεθ' ἔς τε Πύλον καὶ Νέστορα, ποιμένα λαῶν·
Δεξάμενος δέ μ' ἔπειτα δόμῳ ἐνὶ ὑψηλοῖσι,
Ἐνδυκέως ἐφίλησε, πατὴρ ἓν ἅμα
Ἐλθόντα χρόνιον νέον ἄλλοθεν, ὡς ἐμὲ κεῖνος
Ἐνδυκέως ἐκόμιζε, σὺν υἱάσι κυδαλίμοισιν.
Αὐτὰρ Ὀδυσσῆος ταλασίφρονος οὔποτ' ἔφασκε
Ζῶν, οὐδὲ θανόντος, ἐπιχθονίων τεύ ἀκοῦσαι,
Ἀλλά μ' ἐς Ἀτρεΐδην δουρικλειτὸν Μενέλαον
Ἵπποισι προΐαλλε καὶ ἅρμασι κολλητοῖσιν.
Ἔνθ' ἴδον Ἀργείην Ἑλένην, ἧς εἵνεκα πολλὰ
Ἀργεῖοι, Τρῶές τε, θεῶν ἰότητι μόγησαν.
Εἴρετο δ' αὐτίκ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος
Ὅππῃ χρηίζων ἱκόμην Λακεδαίμονα δῖαν.

In ſede reclinata, tenues lanas verſans.
Hi autem in cibos paratos adjacentes manus jecerunt:
At poſtquam potûs & cibi deſiderium amiſerant,
Illis verba incepit prudens Penelope,
" Telemache, certè ego in cœnaculum ubi conſcendero,
" Dormiam in lecto, qui mihi ſuſpirioſus factus eſt,
" Semper lacrymis meis irrigatus; ex quo Ulyſſes
" Ivit cum Atridis ad Ilium; nequedum mihi ſuſtinuiſti,
" Antequam venerint proci ſuperbi in hanc domum,
" Reditum tui patris apertè dicere, ſi cubi audiviſti.
Hanc rurſus Telemachus prudens contrà alloquutus eſt,
" Tibi ergo ego, mater, veritatem narrabo;
" Ivimus inque Pylum & ad Neſtorem paſtorem populorum.
" Suſceptum autem me ille in altis domibus
" Accuratè dilexit, tanquam pater ſuum filium,
" Venientem longo-poſt tempore nuper aliunde; ſic me ille
" Studiosè curavit, unà cum filiis glorioſis.
" At de Ulyſſe miſero nunquam dixit,
" Quòd vivus eſſet, vel mortuus, ſe ab aliquo mortalium audiviſſe:
" Sed me ad Atridem lancea-inclytum Menelaum
" Equis præmiſit, & curribus conglutinatis.
" Illic vidi Argivam Helenam, cujus gratiâ multa
" Argivi, Trojanique, deorum voluntate laborârunt.
" Interrogavit verò ſtatim tum bellopræſtans Menelaus,
" Quo indigens veniſſem Lacedæmona divinam:

Σ Χ Ο Λ Ι Α.

101. Ὑπερῴϊον.] * Ἀναίγειον οἴκημα.
102. Λέξομαι.] Καθακοιμηθήσομαι. Στονόεσσα.] Σπαραγμῶν αἰτία.
113. Κόμιζε.] Ἐπεμελεῖτο.
121. Ὅππῃ.] Τινός.
* Ità, pro ἀναίγειον, lego.

N O T Æ.

100. Τοῖσίδε) Ità omninò ſcribendum, vel τοῖσδεσι, pro τοῖσι δ', quod hìc quidem ſtare nequit; τὸ δ' enim παρέλκει, & eſt *Encliticum*; nec verò ſignificat, ut attentus *Lector* & peritus facilè agnoſcet. Vid. ad ν'. v. 47.
108. Ἀλήθεια) Ità pro ἀληθείην ſcribo, ut ad π'. v. 226. Ità mox, v. 122.
116. Ἀλλά μ' ἐς Ἀτρεΐδην * δουρικλειτὸν Μενέλαον) Quamvis hic in omnibus fere Exemplaribus δουρικλυτὸν legeretur, legendum tamen & hìc & aliàs ſemper in ſimilibus δουρικλειτὸν, contendo; ut ad *Iliad.* ε'. v. 55. Vid. ad *Odyſſ.* ο'. v. 52.

Variæ Lectiones.

108. Ἀλήθειαν) χρ. ἀληθείην, vid. Not. in *Textum*.
110. Δέ μ' οἰκοῦσ') χρ. δέ μοι κεῖνος, ut mox, v. 112. ὡς ἐμὲ κεῖ-.
116. Δουρικλείτον) γρ. δουρικλυτὸν, vid. N. in *Textum*.
118. Πολλὰ) γρ. πολλοὶ. *H. Steph.*
121. Ὅππῃ) χρ. ὅπποι. *Hervag.* Edit. in Margine.

Αὐτὰρ

Αὐτὰρ ἐγὼ τῷ πᾶσαν ἀλήθειαν κατέλεξα.
Καὶ τότε δή μ' ἐπέεσσιν ἀμειβόμενος προσέφτεν,
Ὦ πόποι, ἦ μάλα δὴ κρατερόφρονος ἀνδρὸς ὀϊὴ
125 Ἤθελον θυμηθῆναι ἀνάλκιδες αὐτοὶ ἐόντες.
Ὡς δ' ὁπότ' ἐν ξυλόχῳ ἔλαφος κρατερῷο λέοντος
Νεβρὺς κοιμήσασα νεηγενέας γαλαθηνὺς,
Κνημοὺς ἐξερέῃσι καὶ ἄγκεα ποιήεντα
Βοσκομένη, ὁ δέ τ' ὦκα ἑλὼν εἰσήλυθεν εὐνῇ,
130 Ἀμφοτέροισι δὲ τοῖσιν ἀεικέα πότμον ἐφῆκεν·
Ὣς Ὀδυσεὺς κείνοισιν ἀεικέα πότμον ἐφήσῃ.
Αἴ γάρ, Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον,
Τοῖος ἐὼν, οἷός ποτ' ἐυκλείῃ ἐν Λέσβῳ
Ἐξ ἔριδος Φιλομηλείδῃ ἐπάλασσεν ἀναστὰς,
135 Κὰδδ' ἔβαλε κρατερῶς, κεχάρηπο δὲ πάντες Ἀχαιοί·
Τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειε Ὀδυσεύς·
Πάντες κ' ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε.
Ταῦτα δ', ἅ μ' εἰρωτᾷς καὶ λίσσεαι, μὴ κάρ ἔγωγε
Ἄλλα παρὲξ εἴποιμι παραφλάσσω δ' ἀπαλήσω·
140 Ἀλλὰ τὰ μέν μοι ἔειπε γέρων ἁλιος μερόπων,
Τῶν οὐδέν τοι ἐγὼ κρύψω ἔπος, οὐδ' ἐπικεύσω.

" At ego huic omnem veritatem dixi.
" Et tunc utique me verbis respondens alloquutus est,
" O Dii certè jam fortis viri in lecto
" Voluerunt dormire, impotentes ipsi cum sint.
" Sicut quando in arboreto cerva validi leonis
" Hinnulos dormire faciens nuper-natos lacte-nutritos,
" Colles inquirit, & valles herbosas
" Pascens, hic verò statim suum ingressus est cubile,
" Ambobusque illis indignam mortem præbuit.
" Sic Ulysses illis turpem mortem afferet.
" Utinam enim, ô Jupiter pater, & Minerva, & Apollo
" Talis, qualis olim benè ædificatâ in Lesbo
" Ex provocatione cum Philomelide luctatus est, ubi surrexisset,
" Dejecitque fortiter, gavisique sunt omnes Achivi:
" Talis exiliens cum procis versaretur Ulysses,
" Omnes utique subitæ mortis fierent & amararum nuptiarum.
" Hæc autem, quæ me interrogas & precaris, non ego
" Alia præter *verum* dixerim obliquè, neque decipiam:
" Sed quæ quidem mihi dixit senex marinus verax,
" Horum nullum tibi ego occultabo verbum, neque abscondam.

ΣΧΟΛΙΑ.

134. Φιλομηλείδῃ.] Ὁ Φιλομηλείδης, ὡς Φιλομήλας υἱός· ὁ δὲ Πάτροκλος ὑ δόναξ δηλοῖ, ὡς Φιλομήλας υἱός· * ὅπερ τὸ καὶ λίθῳ μητέρων ὑ χημαιτίζει ὁ Ποιητής· καὶ ὅπερ τὸ ἐπιφερόμενον ὡς οἰκεῖον ἦν ἐπὶ Πατρόκλῳ. Κὰδδ' ἔβαλε κρατερῶς, κεχάρηπο δὲ πάντες Ἀχαιοί· Καὶ τὸ Ἰλιάδι ἦ λέγει. * Νῦν τις σύνεσις Πατρόκλῳ δειλοῖο Μενοιτιάδαο.

* *Iliad.* ρ'. v. 670.

NOTÆ.

122. Ἀλήθειαν) Vid. suprà, v. 108.

134. Φιλομηλείδῃ) Vid. Not. in *Br. Schol.*

138. Ἅμ') Malè olim in pluribus junctæ erant voces, ἅμ' enim pro ἅ μοι scribebatur.

141. Τῶν) Ità pro ὧν, scribo, ex *Eustathio*; quanquam, ut verum fatear, τὸ ὧν, in ipsa *Florentina*, *Aldina*, *Lovaniana Rescii*, nè alias Editiones hìc memorem. Quùm tamen suprà, ubi hic totus locus. Sic *Æsculapius* Κορωνίδης, *Niobe* filii Νιοβίδαι, *Euripid.* Phœniss. v. 162. *Bacchus*, *Horatio*, *Semeleïus*, *Catullo Telemachus*, *Penelopæus*, Epigr. 62. *Virgilio*, *Inous Melicertes*, Georg. l. 1. v. 437. *Ovidio* Perseus, *Danaeïus* heros, Metamorph. l. 5. Denique *Joabus*, *Abishai*, & *Asahel*, dicuntur filii *Zeruiæ*, Matris nempe, Sororis *Davidis* Regis, 2 *Samuel.* c. 17. v. 25. Confer *Br. Schol.* ad *Odyss.* δ'. v. 343. & ad *Iliad.* λ'. v. 749.

NOTÆ IN SCHOLIA.

134. Ὅπερ τὸ καὶ λίθῳ μητέρων ὑ χημαιτίζει ὁ Ποιητής.) Cui simile illud *Heraclidæ Ponticì*, Σύνηθες ἦ Ὁμήρῳ τοῖς πατρῴοις ἐπιθέτοις χρῆσθαι· τὸ ἦ ὦ μητέρῳ ὑόϛ, ἢ εὖγαι τὰς ὅλας παρ' αὐτῷ. In quem locum hæc Nota, *Canon diligenter notandus, qui apud* Homerum *ubique, ni longè fallar, Verus reperietur.* Fallitur tamen, unà cum *Grammaticis suis. Homero* enim *Apollo* Λητοΐδης, audit; ut *Hesiodo*, Scut. *Here.* v. 229. Δαναΐδης Περσεὺς dicitur & Χείρων Φιλυρίδης. Sic *Æsculapius* Κορωνίδης, *Niobæ* filii Νιοβίδαι, *Euripid.* Phœniss. v. 162. *Bacchus*, *Horatio*, *Semeleïus*, *Catullo Telemachus*, *Penelopæus*, Epigr. 62. *Virgilio*, *Inous Melicertes*, Georg. l. 1. v. 437. *Ovidio* Perseus, *Danaeïus* heros, Metamorph. l. 5. Denique *Joabus*, *Abishai*, & *Asahel*, dicuntur filii *Zeruiæ*, Matris nempe, Sororis *Davidis* Regis, 2 *Samuel.* c. 17. v. 25. Confer *Br. Schol.* ad *Odyss.* δ'. v. 343. & ad *Iliad.* λ'. v. 749.

VARIÆ LECTIONES.

122. Ἀλήθειαν) γρ. ἀληθείην, vid. Not. in *Textum.*

127. Γαλαθηνὺς) γρ. γαλακτοθρεπτὺς, & γαλακτόθρους, vid. ad δ'. v. 336.

129. Ὅ δέ τ' ὦκα) γρ. ὁ δ' ἐπειτα, *H. Steph.*

141. Τῶν) γρ. ὧν, vid. Not. in *Textum.*

Φῆ μιν ὅδ' ἐν νήσῳ ἰδέειν κρατερ' ἄλγε' ἔχοντα,
Νύμφης ἐν μεγάροισι Καλυψοῦς, ἥ μιν ἀνάγκῃ
Ἴσχε· ὁ δ' οὐ δυνάτ' ἦν πατρίδα γαῖαν ἱκέσθαι·
Οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι, οὐ ἑταῖροι,
Οἵ κέ μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.
Ὣς ἔφατ' Ἀτρεΐδης δουρικλειτὸς Μενέλαος.
Τάδε τελευτήσας νεόμην· ἔδοσαν δέ μοι ὦκα
Ἀθάνατοι, οἵ μ' ὦκα φίλην ἐς πατρίδ' ἔπεμψαν.
Ὣς φάτο· τῇ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε.
Τοῖσίδε καὶ μετέειπε Θεοκλύμενος θεοειδής,
Ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
Ἦτοι ὅδ' οὐ σάφα οἶδεν· ἐμεῖο δ' σὺ νόησον μῦθον·
Ἀτρεκέως γάρ σοι μαντεύσομαι, οὐδ' ἐπικεύσω·
Ἴστω νῦν Ζεὺς πρῶτα θεῶν, ξενίη τε τράπεζα,
Ἑστίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω,
Ὡς ἤτοι Ὀδυσεὺς ἤδη ἐν πατρίδι γαίῃ
Ἥμενος, ἢ ἕρπων, τάδε πευθόμενος κακὰ ἔργα,
Ἐσθλὰ δὲ μνηστῆρσι κακὰ πάντεσσι φυτεύει.
Τοῖον ἐγὼν οἰωνὸν ἐυσσέλμῳ ἐπὶ νηὸς
Ἥμενος ἐφρασάμην, καὶ Τηλεμάχῳ ἐγεγώνευν.
Τόνδ' αὖτε προσέφη πεπνυμένη Πηνελόπεια,
Αἲ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη·
Τῷ κε τάχα γνοίης φιλότητά τε, πολλά τε δῶρα,

" Dixit ipſum in inſulâ vidiſſe duros dolores habentem,
" Nymphæ in domibus Calypſûs, quæ ipſum neceſſitate
" Detinet: ille verò non poterat ſuam in patriam terram venire:
" Non enim adſunt naves remigabiles & ſocii,
" Qui & ipſum ſubvehant in lata dorſa maris.
" Sic dixit Atrides lanceæ-inclytus Menelaus.
" Illis peractis diſceſſi; dederunt etenim mihi ventum
" Immortales, qui me velocitèr dilectam in patriam miſerunt.
Sic dixit; huic autem animum in pectoribus movit.
His & loquutus eſt Theoclymenus divinus,
" O conjux veneranda Laertiadæ Ulyſſis,
" Certè hic non apertè ſcit; meum verò attende verbum.
" Verè enim tibi vaticinabor, neque occultabo.
" Sciat nunc ſupiter primùm deorum, hoſpitaliſque menſa,
" Domuſque Ulyſſis ſtrenui, ad quam veni,
" Quòd certè Ulyſſes jam in patriâ terrâ
" Sedens, vel repens, hæc auditurus mala opera,
" Eſt, at procis malum omnibus ſerit:
" Talem ego Avem benè-tabulatâ in navi
" Sedens obſervavi, & Telemacho indicavi.
Hanc rurſus alloquuta eſt prudens Penelope,
" Utinam hoc, hoſpes, verbum perfectum eſſet:
" Tum citò ſentires amicitiamque, multaque dona,

Σ Χ Ο Λ Ι Α.

158. Ἔρπων.] Κατ' ὀλίγον προσερχόμενος. γώσδν.] Ἐσήμαινον, ἔλεγον.
161. Ἐφρασάμην.] Ἐθεασάμην, ἔγνων. Ἐγ-

Ν Ο Τ Æ.

cus occurrebat, nempè ν. v. 350. Τῶν apertè legatur, in his ipſis *Editionibus*, & aliis omnibus; hic autem locus lit ex iſto deſumptus: & in hoc ipſo loco ſcribatur ϝ in utrâque *Euſtathii* Editione, & *Senſus* quoque hanc *Lectionem* poſtulet, & Poetæ Uſus etiam præferat, nequaquam debuit *H. Steph.* τὸ ὦν in ſuo *Textu* ponere, & τὸ ϝ in *Marginem* rejicere, verùm potiùs, contrà facere, ſi ſatis advertiſſet, & contuliſſet, ut Nos nunc facimus.

142. Κρατίρ' ἄλγε' ἔχοντα) *Euſtath.* fol. 621. lin. 28. Ἔφη αὐτὸν ὁ Πρωτεὺς, ἐν νήσῳ ἰδέειν κρατερ' ἄλγε' ἔχοντα. ἤγουν πάσχοντα· ἢ θαλερὸν καὶ δάκρυ χέοντα, quaſi hæc eſſet altera *Lectio* & *H. Steph.* θαλερὸν καὶ δάκρυ χέοντα ponit inter *Var. Lect.* quod tamen Obelo notandum, nam nec Verſus admittet, niſi θαλερὸν rejicias; τὸ ἰδέειν enim omninò neceſſarium.

147. Ὣς ἔφατ' Ἀτρεΐδης δουρικλυτὸς Μενέλαος) Ità & hìc δουρικλυτὸς, pro δουρικλυτὸς, lego, ut ſuprà, v. 116.

Ν Α Ι Æ Lectiones.

142. Κρατίρ' ἄλγε' ἔχοντα) γρ. καὶ δάκρυ χέοντα, vid. Not. in *Textum*.
147. Δουρικλειτὸς) γρ. δουρικλυτὸς, vid. ſuprà, ad v. 116.
156. Ἑστίη) γρ. Ἰστίη. Vid. ad ξ'. v. 156.
158. Πεύθομεν) γρ. πεύσομεν.
160. Τοῖον) γρ. οἷον, *H. Steph.*

Ἐξ ἐμοῦ, ὡς ἄν τίς σε σὺν αὐλόμενον καὶ μακαρίζοι.
Ὡς οἱ μὲν τοιάδε τοῖσ ἀλλήλους ἀγόρευον·
Μνηστῆρες δ' ἄρα πάροιθεν Ὀδυσσῆος μεγάροιο
Δίσκοισιν τέρποντο, καὶ αἰγανέῃσιν ἱέντες
Ἐν τυκτῷ δαπέδῳ, ὅθι περ πάρος ὕβριν ἔχεσκον.
Ἀλλ' ὅτε δὴ δεῖπνησὲ ἕλε, καὶ ἐπήλυθε μῆλα
Πάντοθεν ἐξ ἀγρῶν, οἱ δ' ἤγαγον, οἵ τοπάρος περ,
Καὶ τότε δή σφιν ἔειπε Μέδων, ὃς γάρ ῥα μάλιστα
Ἤνδανε κηρύκεσσι, καὶ σφιν παρεγίνετο δαιτί,
Κέρν', ἐπεὶ δὴ πάντες ἐτέρφθητε φρένα δαΐοις,
Ἔρχεσθε τοῖσ δόμοιθ', ἵν' ὁτρωόμεθα δαῖτα·
Οὐ μὲν γάρ τι χέρηιον ὧρη δεῖπνον ἑλέσθαι.
Ὡς ἔφαθ'· οἱ δ' ἀνσάντες ἔβαν, πίθοντό τε μύθῳ.
Αὐτὰρ ἐπεὶ ῥ' ἵκοντο δόμους εὖ ναιετάοντας,
Χλαίνας μὲν κατέθεντο κατ' κλισμούς τε, θρόνους τε,
Οἱ δ' ἱέρευον ὄϊς μεγάλους καὶ πίονας αἶγας.
Ἱέρευον δὲ σύας σάλους καὶ βοῦν ἀγελαίην,
Δαῖτ' ὁτρωόμενοι· τοὶ δ' ἐξ ἀγροῖο πόλινδε
Ὤτρυνον, Ὀδυσῆός τ' ἰέναι καὶ δῖος ὑφορβός.
Τοῖσι δὲ μύθων ἦρχε συβώτης, ἄρχαμος ἀνδρῶν,
Ξεῖν', ἐπεὶ ἆρ δὴ πόλιν δ' ἰέναι μνηστῆρσι
Σήμερον, ὡς ἐπέτελλεν ἄναξ ἐμός, ἦ σ' ἂν ἔγωγε
Αὐτοῦ βουλοίμην φυλάσσειν ῥυτῆρα γενέσθαι·
Ἀλλὰ τ' αἰδέομαι, καὶ δείδια, μή μοι ὀπίσσω

" Ex me; ut aliquis te obvius beatum prædicaret.
Sic hi quidem talia inter se loquebantur.

Proci autem ante Ulyssis domum
Discis delectabantur, & tragulis eas jaciendo
In elaborato pavimento; ubi antea injuriam habebant.
Sed quando jam cœnandi tempus erat, & supervenerunt oves
Undique ex agris, hi verò duxerunt, qui antea;
Et tunc sanè ipsis dixit Medon, hic enim maximè
Placebat præconum, & ipsis affuit in convivio,
" Juvenes, postquam jam omnes delectati estis mente certaminibus,
" Ite in ædes, ut paremus convivium:
" Non enim incommodum est in tempore cœnam capere.
Sic dixit, hi autem surgentes ibant, & paruerunt dicto.
At postquam venerunt in ædes benè habitatas,
Vestes quidem deposuerunt in sedibus, thronisque:
Hi igitur mactaverunt oves magnas & pingues capras;
Mactaverunt quoque sues pingues, & bovem armentariam,
Convivium parantes: hi interim ex agro ad civitatem
Properè se accingebant, ut irent Ulysseſque & divus subulcus.
Ex iis autem verba incepit subulcus, princeps virorum,
" Hospes, quoniam jam nunc ad civitatem ire valde cupis
" Hodiè, sicut jussit dominus meus, certe te ego
" Hic mallem stabulorum custodem relinqui:
" Sed vereor & timeo, nè mihi inposterum

ΣΧΟΛΙΑ.

170. Δεπνησὲς.] Βαρυτόνως μὲν ἡ δ δίπνον ὥσπερ ἐξυπόνως ἡ τὸ δίπονον.
175. Ἐντωόμεθα.] Εὐτρεπίσωμεν.
182. Ὠτρύνοντο.] Παρεσκευάζοντο.
187. Ῥυτῆρα.] Φύλακα· σταθμῶν ἡ τῶν ἐπαύλεων.

NOTÆ.

170. Ἀλλ' ὅτε δὴ δεπνησὲς ἕλε) Etymolog. M. v. Δεπνησὲς) Ἔστι δεπνῶ, δεπνεῖς. Ἀλλ' ὅτε δὴ δεπνησὲς ἕλε, σεσιασὲν, τὸ σῆμα. Διὰ δ ἐστι γράφει· ἀπὸ δ δίπνιζω, δεπνισός. Ὡρ. Idem tamen rectius alias, Δορπησὲς legit, in v. quo etiam modo δεπνησός.

181. Ἱέρευον ἡ σύας σάλους) De *Anapæsto* in Versu Heroico, diximus ad ξ'. v. 94. ubi & de hoc loco. Potest & ἱέρευον hic saltem legi, licet rectè, suprà, ad v. 180. Οἱ δ' ἱέρευον ὄϊς μεγάλους.

185. Δὴ πειθ.) Ità lego, pro δ' ἤπειθ.

VARIÆ LECTIONES.

170. Δεπνησὲς) γρ. δίπνησος, *H. Steph.* & Δεπνισὲς, vid. *Brevia Scholia* & Not. in *Textum*.

174. Αἰδέομαι) γρ. αἴδομαι.

177. Ἔβαν, πείθοντό τε μύθῳ) γρ. ἴσαν οἶκόνδε ἵκανον, *H. Steph.* cujus *Sensum Latina* Versio habet; nunc à nobis mutatur.

181. Ἱέρευον) γρ. ἱέρευον, vid. Not. in *Textum*.

187. Γουίῃ) γρ. λιπὼν, quæ huic loco aptior, ut mox, v. 223. γουίῃσι aptior, licet & ibi γρ. λιπέσθαι.

Νειχείη-

Νειχείη· χαλεπαὶ δέ τ' ἀνάκτων εἰσὶν ὁμοκλαί.
Ἀλλ' ἄγε νῦν ἴομεν· δὴ γὰρ μέμβλωκε μάλιστα
Ἦμαρ, ἀτὰρ πάχα τοὶ ποτὶ ἕσπερα ῥίγιον ἔσται.
Τόνδ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Γιγνώσκω, φρονέω· τά γε δὴ νοέοντι κελεύεις,
Ἀλλ' ἴομεν· σὺ δ' ἔπειτα διαμπερὲς ἡγεμόνευε.
Δὸς δέ μοι, εἴ ποθί τοι ῥόπαλον τελεμνήσιον ἐστὶν,
Σκηρίπτεσθ', ἐπεὶ φάτ' ἀεισφαλέ' ἔμμεναι ὁδόν.
Ἦ ῥα, καὶ ἀμφ' ὤμοισιν ἀεικέα βάλλετο πήρην
Πυκνὰ ῥωγαλέην· ἐν δὲ τρόφος ἦεν ἀορτήρ·
Εὔμαιος δ' ἄρα οἱ σκῆπτρον θυμαρὲς ἔδωκεν.
Τὼ βήτην· σάφα μὲν κύνες καὶ βώτορες ἄνδρες
Ῥύατ' ὀπάδε μίμνοντες· ὁ δ' ἐς πόλιν ἦγεν ἄνακτα,
Πτωχῷ λευγαλέῳ ἐναλίγκιον ἠδὲ γέροντι,
Σκηπτόμενον· τὰ δὲ λυγρὰ περὶ χροῒ εἵματα ἕστο.
Ἀλλ' ὅτε δὴ τείχεός τε ὁδὸν κάτα παιπαλόεσσαν
Ἄσσον ἐγγὺς ἔσαν, καὶ ἐπὶ κρηῖνην ἀφίκοντο
Τυκτὴν, καλλίροον, ὅθεν ὑδρεύοντο πολῖται,

" Excandeſcat: difficiles etiam dominorum ſunt minæ.
" Sed agè nunc eamus, jam enim præterit maximâ ex parte
" Dies, ac citò ſub veſperam frigidius erit.
Hunc reſpondens alloquutus eſt prudens Ulyſſes,
" Cognoico, mente teneo; hæc jam intelligenti injungis:
" Verùm eamus; tu autem exin perpetuo præi.
" Da verò mihi, ſicubi baculum inciſum eſt,
" Ut innitar; quoniam dicitis valdè lubricam eſſe viam.
Dixit, & circum humeros turpem impoſuit peram
Denſis *ſcrutis* rimoſam, tortilis verò inerat funis:
Eumæus autem ei baculum gratum dedit.
Hi iverunt: ſtabulum verò canes & paſtores viri
Cuſtodiebant à tergo manentes; hic autem verſus civitatem duxit regē,
Pauperi miſerando ſimilem & ſeni,
Baculo innitentem: mala enim circū corpus veſtimenta indutus erat.
Sed quando jam euntes viam per aſperam
Civitatem prope erant, & ad fontem pervenerant,
Elaboratum, pulchrè-fluentem, unde aquam petebant cives,

Σ Χ Ο Λ Ι Α.

189. Χαλεπαί.] Δύσκολοι· κακαὶ τῇ διαστολῇ αἱ ἀπειλαί. Ἀνάκτων.] Διαστολῆς· Ὁμοκλαί.] Ἀπειλαί.

190. Μέμβλωκε μάλιστα ἦμαρ.] Τὸ πλεῖστον τῆς ἡμέρας παρελήλυθεν.

191. Ποτὶ ἕσπερα ῥίγιον.] Περὶ ἑσπέραν μᾶλλον χειμὼν ἐστι. Ῥίγιον.] Χειμὼν, ψῦχος.

195. Τετμημένον.] Κεκομμένον.

196. Σκηρίπτεσθαι.] Ἐπερείδεσθαι. Ἀεισφαλέα.] Τραχεῖαν, σκληρὰν, σφῆλαι πάλιν δυναμένην, δύσβατον, ὀλισθηρὰν, ὥστε κινδυνεύειν περιπεσεῖν· ὁδὸν ἢ τὴν, αὐτὶ τοῦ, τὴν ὁδόν.

199. Θυμαρές.] Εὐάρεστον.

202. Λαυγαλέῳ.] Εὐπλεῖ.

203. Σκηπτόμενον.] Ἐπερειδόμενον. Ἕσσ.] Ἐνεδύετο.

Ν Ο Τ Æ.

196. Ἀεισφαλὲς ἔμμεναι ὁδὸν) *Euſtath.* fol. 623. lin. 44. Καὶ ὅρα, τὸ ὁδὸν, ἀντὶ τοῦ ὁδὸν, ἐπενθέσει Αἰολικῇ τοῦ υ. ἔπαιξε δέ, φασιν, ὁ ποιητὴς εἶπε τὸν λέξιν· καὶ διέδωκεν ἀφορμὴν ἐπιμολογίας τῇ ὁδῷ, καὶ ὁπόσῳ ἡδὺ ὁδὸς εἰς οἶκόν ἐστι. Ἡρακλείδης δὲ ὁ ἐν οἷς περὶ δυσκλίτων ῥημάτων, γράφει, Ἀεισφαλὲς ἔμμεναι ἕδος φησὶ γράφειν, οὐκ ἄλλως, ἀπό τινων. Verùm quùm ἑδὸς ſit *Ionicum*, pro ὁδὸς, & ἕδος, *Pavimentum*, non tam *Lectionem* illam puto, quam παραποίησιν. Παραπεποῖσθαι γὰρ δοκεῖ ὅτι ἕ Ποιητῇ, *viz.* ex hoc loco.

201. Ῥύατ') Pro ἐῤῥύατο, hoc eſt, ἐῤῥυμένοι ἦσαν, ut *Iliad.* σ'. v. 515.

203. Σκηπτόμενον) *Euſtath.* fol. 625. lin. 1. Ὃ ἐστι, σκηριπτόμενον· ἢ σφαλιζόμενον, ἢ φαντάζοντα· ἡ γὰρ ἀληθῶς τοιοῦτος ἦν.

206. Ὅθεν ὑδρεύοντο πολῖται) Confer, quæ Nos ad η'. v. 131.

NOTÆ IN SCHOLIA.

196. Ἀεισφαλέα) In hoc *Scholio Maſcula* Epitheta in *Fœminina* verto omnia, quòd ἑδὸς ἡ, pro ἑδὸς.

Variæ Lectiones.

189. Ὁμοκλαί) γρ. ἀπειλαί, *Scholiaſtes Æſchyli*, vid. *Duport.* Gnomolog.

196. Ἀεισφαλὲς ἔμμεναι ἑδὸν) γρ. ἀεισφαλὲς ἔμμεναι ἕδος. *Euſtath.* & *H. Steph.* vid. Not. in *Textum*.

199. Θυμαρὲς) γρ. θυμᾶρες.

206. Καλλίροον) γρ. καλλίῤῥοον, at in *Scanſione*, ut καλλίῤῥην, conſiderandum.

Τὼ

Τλὺ ποίησ' Ἴθακος, καὶ Νήριτος, ἠδὲ Πολύκτωρ·
Ἀμφὶ δ' ἄρ' αἰγείρων ὑδατοθρεφέων ἦν ἄλσος
Πάντοσε κυκλοτερές, καθ' ὃ ψυχρὸν ῥέεν ὕδωρ
Ὑψόθεν ἐκ πέτρης· βωμὸς δ' ἐφύπερθε τέτυκτο
Νυμφάων, ὅθι πάντες ἐπιῤῥέζεσκον ὁδῖται·
Ἔνθα σφέας ἐνίκαν υἱὸς Δολίοιο Μελανθεύς,
Αἶγας ἄγων, αἵ πᾶσι μετέπρεπον αἰπολίοισι,
Δεῖπνον μνηστῆρσι· δύω δ' ἅμ' ἕποντο νομῆες.
Τοὺς δὲ ἰδὼν νείκεσσεν, ἔπος τ' ἔφαθ', ἕκ τ' ὀνόμαζεν
Ἔκταλον καὶ ἀεικές· ὄρινε δὲ κῆρ Ὀδυσῆος·
Νῦν μὲν δὴ μάλα πάσχω κακὸς κακὸν ἠγλάϊσμαι·

Quem fecit Ithacus, & Neritus, & Polyctor;
Circùm verò almorum aquis-nutritarum erat nemus
Undique circulare, frigidáque defluebat aqua
Ex alto, ex petrâ: ara item suprà facta erat
Nympharum, ubi omnes sacrificabant viatores;
Illic ipsos invenit filius Dolii Melantheus,
Capras ducens, quæ omnibus antecellebant gregibus,
Cœnam procis; duo autem simul sequebantur pastores.
Hos conspicatus increpavit, verbumque dixit & compellavit
Terribiliter & indecenter; movitque animum Ulyssis;
" Nunc sanè verò verius malus malum ducit:

ΣΧΟΛΙΑ.

207. Ἴθακος καὶ Νήριτος, ἠδὲ Πολύκτωρ.] * Πτερελάου παῖδες, Ἴθακος καὶ Νήριτος, ἀπὸ Διὸς ἔχοντες τὸ γένος, ἦκαν τὴν Κεφαλλωνίαν· ὁρίσαν δὲ αὐτῆς τοῦτο, καταλιπόντες τὰ σφέτερα ἤθη, παραγίνονται εἰς τὴν Ἰθάκην καὶ τόπον ἰδόντες εὐ πεπιημένον, εἰς οἰκισμὸν. Ἀφ' οὗ τὸ τοῦ παρωνυμίαν ὑψηλότερον εἶναι, ἐκ καθικνουμένης δηλονότι τῆς Ἰθάκης ἔκλεσαν· καὶ ἐκ μὲν Ἰθάκης, ἡ νῆσος ἐπωνομάσθη Ἰθάκη, τὸ δὲ παρακείμενον ὄρος ἐκ τοῦ Νηρίτου, Νήριτον. ἡ δὲ ἱστορία παρὰ Ἀκουσιλάῳ.

208. Ἀμφὶ δ' ἄρ' αἰγείρων ὑδατοθρεφέων ἦν ἄλσος] Ἥλιος Ῥόδῳ μιχθεὶς τῇ Ἀσωποῦ, παῖδας ἴσχει, Φαέθοντα, καὶ * Λαμπετίδα, καὶ Αἰγλην, καὶ Φαέθουσαν· ἀνδροφθεὶς δὲ ὁ Φαέθων, ἤρετο τὴν μητέρα, τίνος εἴη πατρός· συνθεμένης δὲ, ὡς Ἥλιος, παρεγένετο ἐπὶ τὰς τοῦ πατρὸς ἀναβάσεις· γνωρισθεὶς δὲ, ὅπως ἐδύνατο τοῦ πατρὸς, ἐπ' ὀλίγον αὐτῷ συγχωρῆσαι τὸ ἅρμα καὶ τοὺς ἵππους ἐλάσαι, ὅπως καταπαύσῃ τὸ κύημα· ὁ δὲ Ἥλιος ἀκούσας, παραυτὰ μὲν ἀντέλεγεν, οἰόμενος ἀπάτην· σφόδρα δὲ αὐτῷ ἐγκειμένῳ, συχωρεῖ, διδάξας, ὅ, τι τὸ μεσαίχμιον· ἐπιβὰς δὲ οὐκεῖος ὁ ἅρματος, ἀπήκτους ἤλασεν, ὡς τε * τετράπτωκα, πάντα τὰ ἐπὶ τῆς γῆς φρύγειν, καὶ δὴ τῆς ἀφροσύνης ἐπιχεῖν αὐτὸν κεραυνὸν ὁ Δία· καταπεσόντος δὲ αὐτοῦ μὴ τὸ ζῆλος φλογὸς ἐπὶ τὴν Ἠελιάδων παῖδας, καὶ φλεγέντας, αἱ ἀδελφαὶ παρεκλυόμεναι κατὰ τὸν τόπον τοῦ Κελλικοῦ πλαγὼς, ἐδρύσαν ἡμέρας * ἑπτὰ λείπουσας καὶ νυκτός· ὅθεν * καπελάσας ὁ Ζεὺς, πάντας ἀνάμνησιν ἐνεποίησεν τῶν κακῶν, μεταμορφῶν αὐτὰς εἰς * αἰγείρους, αἵπερ εἰσὶ δενδρα· λέγεται δὲ καὶ σοφῶν ἀπεχθανόμενος τὸ ηλεκτρον τῶν ἀρχαίας οἰμωγῆς· ἀπεδακρύονται δὲ τοῦτο καρπὸν ἀπὸ τοῦ δένδρου· ἡ δὲ ἱστορία παρὰ τοῖς τραγικοῖς. Ἱεροθυτείων.] Τῶν ὕδατι τεθραμμένων.

* Ita, pro καπελάσασα τὸν Δία, &c.

211. Ὀδῖται.] Ὁδοιπόροι.
213. Μετίσχεσθον.] Ἐπίσημοι ἦσαν.
214. Νομῆες.] Ποιμένες.
216. Ἔκταλον δ' ἀεικές.] Δεινῶς ὑβριστικόν.
217. Ἠγλαΐσμαι.] Ἄγομαι.

NOTÆ IN SCHOLIA.

208. * Πτερελάου, pro Πτελεάου, & * Λαμπετίδα lego, pro corrupto λαμπιτίνα, mox * τετραπτώκα πάντα τὰ ἐπὶ. pro priori τετραπτῶν τὰ πάντα ἐπὶ· etiam * ἀδιαλείπτους, pro ἀδιαλείπτους, & * αἰγείρους, pro monstro illo αἰχείρους, (in solâ *Elzevir.*) ex MS. *Aloysii*, & partim ex Vett. *Impressis*. Notandum in fine, per vocem * Τραγικοῖς, *Euripidem* præcipuè designari; cujus Drama, *Phaethon*, hoc Argumentum tractat, ut & *Nonni Dionys.* l. 38. & *Ovid.* Metamorph. l. 1. ad finem, item l. 2. §. 1, 2, 3. Verùm *Euripides* & *Ovidius Phaethontis* matrem *Clymenen* vocant, quam *Scholiastes* noster *Rhoden*, & quam hic *Asopi* filiam, *Neptuni* & *Amphitritæ* vocat *Apollodor.* Biblioth. l. 1. c. 4. §. 5. Dicendum amplius, quòd cùm *Homerus*, *Ulyssis* tempore, *Solis* boves ab harum sororum duabus pasci fingat, *Odyss.* μ'. v. 132. Νύμφαι ἠϋκόμοιο, Φαέθουσά τε, Λαμπετίη τε, vitiosa est *Ovidius* illud minimè probâsse; quòd sorores *Phaethontis* in Arbores sint versæ: Et ille *Neæram* his Matrem assignat, ut μ'. v. 133. Ἃς τέκεν Ἠελίῳ Ὑπερείονι δῖα Νέαιρα. Vid. *Joh. Alberti Fabricii Bibliothecam Græcam*, 1 Vol. p. 623. v. Φαίθων, ἡ Κλυμένη. Hæc *Scholia* in MS. *Aloysii* extant quidem, at non suo loco, sed longè infrà, è regione, v. 590.

VARIÆ LECTIONES.

208. Ἦν) γρ. ἦεν, πίλεν.
211. Ἐπιῤῥίζεσκον) γρ. ἐπιῤῥίζεσκον, *H. Stephan.* Quidam, ἐπιέζεσκον, & ἐπιῤῥίζεσκον, & ἐπὶ ῥίζεσκον.
212. Σφέας) γρ. σφᾶς.

Ὡς

Ὡς αἰεὶ τ' ὁμοῖον ἄγῃ Θεὸς ὡς τ' ὁμοῖον.
Πῇ δὴ τόνδε μολοβρὸν ἄγῃς, ἀμέγαρτε συβῶτα,
Πτωχὸν ἀνηρῆνα, δαιτῶν ἀπολυμαντῆρα;
Ὃς πολλῇσι φλιῇσι παρὰ πρὸ θύρῃσι φλίψῃ ὤμους,
Αἰτίζων ἀκόλους, οὐκ ἄορας, οὐδὲ λέβητας.
Τόν κ' εἴ μοι δοίης σαθμῷ ῥυτῆρα γενέσθαι,
Σηκοκόρον τ' ἔιδμεν, θαλλόν τ' ἐείρουσι φορεῦσαι,
Καί κεν ὀϊὸν πίων, μεγάλου ἐπιγουνίδα θείτο.

" Adeò semper similem ducit Deus ad similem.
" Quonam utique hunc voracem ducis, immanis subulce,
" Mendicum importunum, convivio-rum destructorem?
" Qui multis liminibus astans deteret humeros,
" Petens frusta, non enses, neque lebetes.
" Hunc si mihi dares stabulorum custodem fieri
" Ut esset stabuli-curator & pabulum hœdis portaret,
" Etiam vel serù bibens, magnum genu poneret. i. e. in corpulentiâ excresceret.

ΣΧΟΛΙΑ.

219. Μολοβρόν.] Τὸν ἐπαύλιον, τὸν χασεμάργην, * τὸν μελίσσουρον ἐπὶ τῶν βοῶν, τὸν ἀκόρεστον προφῆς. Ἀμέγαρτε συβῶτα.] Ἡ ὡς τοῦ βωτῆρος ἀφθόνητι, ὁ δηλοῖ τὸ καλῶς πρέπειν· ἢ ᾧ οὐκ ἄν τις φθονήσοι ἢ συβωτεῖν, οἷον, ἄξιε ἢ συφορβεῖν.

220. Πτωχόν.] Ἐπαίτην. Δαιτῶν ἀπολυμαντῆρα.] Λυμεῶνα τῶν εὐωχιῶν· ἢ, * τὸν καταίρμοφα * ἀπφερόμβιον τῶν εὐωχιῶν.

221. Πολλῇσι.] Πολλαῖς. Φλιῇσι.] Ταῖς παρατέτοιχε θύραις. Φλίψῃ.] Αἰολικῶς. Ἔτοιμοι, θλίψῃ, θλιβήσῃ· ὃς οὐκ ἐκβήσῃ τῶν φλιῶν. * Οὐδὲ εἴξῃ· εἰώθασι δὲ οἱ πτωχοὶ παρακλίνειν πρὸς θύρας, καὶ παρεμβαίνειν.

222. Αἰτίζων.] Αἰτῶν. Ἀκόλους.] Ψωμούς, ὃς οὐκ ἄν τις κωλύσειε λαβεῖν τῶν βραχύτητα. Ἄορας.] Οἱ μὲν, χωρὶς ἢ σ, τὰ ξίφη, παρὰ τὸ ἄορ· οἱ δὲ, μετὰ ἢ σ, τελισκοὺς ἄορας· οἱ μὲν πρὸς, λέγοντες ἀπὸ τῶν ἀγούσιν λαμβανομένας, ἄθλα, γυναῖκας· λέγει γάρ που, * Ἣ τείρεος, ἢ γυνὴ ἢ ἄορας, οἵ ἢ τοὺς τείποδας, τοὺς ἄπυ ἔχοντας, ἐξ ὧν αἴρεσθαι δύναι). * Iliad. χ'. v. 164.

223. Δοίης.] Παρέχοις.

224. Σηκοκόρον.] Ἐπιμελητὴν ἐπαύλεως, ἢ τὸ σαίρουσι τοὺς σηκούς· σηκοὶ ἢ λέγεται), αἱ μανδραι, ἔνθα συγκλείουσι αἱ αἶγες καὶ τὰ βοσκήματα. Θαλλόν.] * Πᾶν τὸ ἐκ γῆς φυόμενον ἢ τῶν φυλλάδα. Πᾶς γὰρ κλαδὸς δένδρου, θαλλὸς προσαγορεύεται· ὥσπερ τὸ Ἀττικῶν ἢ, μόνον ὁ τὰ ἐλαίας. Φορῆναι.] Φέρειν, κομίζειν.

225. Ὀϊόν.] Ἀντὶ τοῦ, ὄρρον, τὸν ὀδατώδη καὶ ἐφθαρμένον ὑποστέατος καὶ χαλαρόν· ἢ τὸ ἄπηκτον χαλαρόν, τὸ ὑπολιποῦν ὑδατώδες. Ἐπιγουνίδα.] Τῶν τοῦ σώματος εὐξίαν· ἀπὸ μέρους τοῦ καὶ τὸ γόνυ δηλοῦντος, τὸ πᾶν ἐσήμανεν, ἢ τὸ ὑπερῶνα τοῦ γόνατος.

NOTÆ.

218. Ὡς αἰεὶ τ' ὁμοῖον ἄγῃ Θεὸς ὡς τ' ὁμοῖον) Prior ὡς, pro ὅπως, at posterior, pro εἰς, *Atticè*; de quâ re diximus satis ad *Euripid.* Phœniss. v. 1409. Huc refer Fabulam *Æsopicam*, Περὶ Ἀνθρακέως καὶ Γναφέως, ὅτι πᾶν τὸ ἀνόμοιον, ἀκοινώνητον. Quod Veteres ὁμοῖον, non ὅμοιον, dixerint, ut ἑτοῖμον, non ἕτοιμον, τροπαῖον, non τρόπαιον, ἐρῆμον, non ἔρημον, quodque *Atticum* sit & *Homericum*, Veteres Grammatici. *Eustath.* fol. 432. lin. 45. Τὸ ἢ ἐρῆμος ἀποβεβιασμένως οἱ Παλαιοί· ὥσπερ καὶ ἑτοῖμον λέγει Ὁμηρος ἀποβεβιασμένως, καθὰ Ἀρχαῖσμοὶ, ὅτι καὶ ἐρῆμον, τὸ παρ' ἡμῖν ἔρημον· καὶ καινὸν ἀδὴν, εἶμα καὶ

225. Ὀϊὸν πίων) De voce ἄκολος, *Etymolog.* M.

NOTÆ IN SCHOLIA.

219. * Clausulam illam, * τὸν μολίσσουρον, &c. ex MS. *Aloysii* addo.

220. * Τὸν & * ἀπφερόμβιον, pro οἱ & ἀπφερόμβιοι, lego, *Sensu* postulante, si taceret MS.

221. * Οὐδὲ εἴξῃ· εἰώθασι δὲ οἱ πτωχοὶ ἀποβεβιασμένως πρὸς θύρας, καὶ ἀποσείβεσθαι, addo ex MS. *Aloysii*; licet etiam in *Vett. Impressis* extent, in *Aldinâ* nempè, *Bedrotianâ*, *Morrhianâ*, &c. excepto quòd ibi, vo-ces, οὐδὲ εἴξει, ut *Textûs* pars laudentur, & ἢ in fine, pro κὰι, legatur.

224. * Πᾶν τὸ ἐκ γῆς φυόμενον ἢ τῶν φυλλάδα, hæc ex MS. *Aloysii*; quæ sequuntur, Πᾶς γὰρ κλαδὸς, &c. ut olim: verùm notandum, Vett. *Impressos* per omnia cum MS. convenire, solam *Elzevirianam* priori parte mulctatam; quòd ex Literarum formâ fraus facta esset *Editori*.

VARIÆ LECTIONES.

221. Φλίψῃ) γρ. θλίψῃ, *Br. Schol. H. Stephan. Eustath.* fol. 627. lin. 38.

222. Ἄορας) γρ. ἄορα, *Br. Schol. H. Steph.*

223. Γενέσθαι) γρ. λιτέσθαι, *Eustath.* fol. 626. lin. 21. vid. ad v. 187.

Ἀλλ' ἐπεὶ δὴ δὴ ἔργα κάκ' ἔμμαθεν, οὐκ ἐθελήσῃ
Ἔργον ἐποίχεσθαι, ἀλλὰ πλώτων χατ' δῆμον.
Βούλεται αἰτίζων βόσκειν λώβην γαστέρ' ἄναλτον.
Ἀλλ' ἔκ τοι ἐρέω, τόδε δὲ τετελεσμένον ἔσται,
Αἴ κ' ἔλθῃ θεοῖς δώμαθ' Ὀδυσσῆος θείοιο,
Πολλά οἱ ἀμφὶ κάρῃ σφέλα ἀνδρῶν ἐκ παλαμάων
Πλῆται ἀποπλείψουσι, δόμον κάτα βαλλομένοιο.
Ὣς φάτο· τὸ παιῶν λὰξ ἔνθορεν ἀφραδίῃσιν
Ἰσχίῳ· οὐδὲ μιν ἔκτοθι ἀταρπιτοῦ ἐτύφελιξεν,
Ἀλλ' ἔμπεδος ἀσφαλέως· ὁ δ' μερμήριξεν Ὀδυσσεύς,
Ἠὲ μεταΐξας ῥοπάλῳ ἐκ θυμὸν ἕλοιτο,
Ἦ θεοῖς γῆν ἐλάσαι κάρη, ἀμφ' ὀδὰς ἀείρας.
Ἀλλ' ἐπελώμησε, φρεσὶ δ' ἔσχετο· τὸ δὲ συβώτης
Νείκεσεν ἄντα ἰδών· μέγα δ' εὔξατο, χεῖρας ἀνασχών,
Νύμφαι κρηναῖαι, κοῦραι Διός, εἴποτ' Ὀδυσσεὺς
Υ̓́μμι ἐπὶ μηρί' ἔκηε, καλύψας πίονι δημῷ,
Ἀρνῶν, ἠδ' ἐρίφων, τόδε μοὶ κρήηνον ἐέλδωρ,
Ὡς ἔλθοι μιν κεῖνος ἀνὴρ, ἀγάγοι δέ ἑ δαίμων·
Τῷ κέ τοι ἀγλαΐας γε διασκεδάσειεν ἁπάσας,

" Sed quandoquidem jam opera mala didicit, non volet
" Opus adire, sed mendicans in populo
" Mavult orando pascere suum ventrem insatiabilem.
" Verùm edico hoc, quod & perfectum erit;
" Si iverit in ædes Ulyssis divini,
" Multa ei circum caput scabella virorum ex manibus
" Latera atterent per domum percussi.
Sic dixit: & eum aggrediens calce irruit insipientiis
In coxam, neque ipsum extra viam dimovit,
Sed firmus permansit: verùm cogitavit Ulysses,
Utrum irruens baculo animum auferret,
An ad terram deiiciat caput circa pavimentum sublatum:
Sed pertulit, animoque cohibitus est; illum verò subucus
Increpavit contra conspicatus; altéque precatus est, manibus sublatis,
" Nymphæ fontanæ, filiæ Jovis, si unquam Ulysses,
" Vobis fœmora combussit cooperta pingui adipe
" Agnorum & hœdorum, hoc mihi perficite desiderium,
" Ut veniat *tandem aliquandò* ille vir, ducátque ipsum numen:
" Sic tibi insolentias utique dissiparet omnes,

ΣΧΟΛΙΑ.

227. Πτώσων.] Πτωχεύων.

228. Βόσκειν.] Τρέφειν. Ἄναλτον.] Ἀπλήρωτον.

231. Πολλά οἱ ἀμφὶ κάρῃ.] Τινὲς μὲν ἀμφοτέρωθεν οἱονεὶ κεφαλὰς ἔχοντα· ἄμφιον γὰρ καὶ παραθήσειν ἀναγινώσκειν ἀμφὶ κάρῃ, τοῦτ' ἐστὶ τῷ κεφαλῷ. Σφέλα.] Τὰ ὑποπόδια· ἢ τὰ σύνδεσμα, τὰ δυνάμενα σφῆλαι, ὅ ἐστι κινῆσαι. Σφέλα.] Τὰ ἀμφοτέρωθεν ἐξοχὰς καὶ ἐπαναστάσεις ἔχοντα· ἢ ἴσως παρὰ τὸ ἀπὸ σφλῶν συμπῆχθαι. σφῆνες γάρ, τὰ μικρὰ ξύλα. σφέλα γάρ, τὰ μικρὰ ὑποπόδια. Παλαμάων.] Τῶν χειρῶν.

232. Πλῶται ἀποπλείψουσι.] Ἐμφαντικῶς, ὅτι αἱ τότε πλῶται ἀποπλείψουσι τὰ ὑποπόδια.

237. Ἀμφ' ὀδὰς.] Περὶ τὸ ἴδαφος. Ἐρείσας.] Πλησιάσας ποιήσας.

238. Ἐπετώλμησεν.] Ὑπέμφυσεν.

240. Νύμφαι κρηναῖαι.] Ταύτας θεοσεβῶς, ἤτοι, καθ' ὃ ἀγωγικός ἐστιν· ἢ, ὅτι τότε τὴν κρήνην ἐθεράπευε.

244. Ἀγλαΐας.] Τὰς καλλωπισμούς. Διασκεδάσειεν.] Διασκορπίσειε.

NOTÆ.

226. Ἔμμαθεν) *Eustath.* fol. 628. lin. 33. Τὸ δὲ ἔργα κάκ' ἔμμαθε, διπλάζει τὸ μ εἰς τὸ ἔμμαθε, καθὼ καὶ τὰς Παλαιάς.

232. Πλῶται) *Florentina, Aldina, Lovaniana, H. Steph.* πλῶτας habent, & MS. *Aloysian.* semel; mox tamen idem explicans ait, αἱ τότε πλῶται, ut *Impressi*: & figuratior quidem hæc *Lectio*. Scio τὸ ἀς hoc *Hesiodo* & *Theocrito* corripi, ut in πρόπας ἠελίοιο, & πᾶς τίκτειν ἐχείῃ. verùm hoc ità fieri apud *Homerum* haud memini. Vid. infrà, ad III. *v.* 106. At *Eustath.* fol. 628. lin. 48. distinctiùs πλῶται legit, & legendum probat, & fol. 629. lin. 5.

240. Νύμφαι) De *Nympharum* Cultu, *P. Victor.* Var. Lect. l. 6. c. 24.

VARIÆ LECTIONES.

226. Ἔμμαθεν) γρ. ἴμαθεν. Vid. infrà, ad Σ. *v.* 361.

231. Ἀμφὶ κάρῃ) γρ. ἀμφικάρῃ, *Eustath.* fol. 629. lin. 3. *Br. Schol.* & *H. Steph.*

232. Πλῶται) γρ. πλῶτας, *Florentin.* &c. vid. Not. in *Textum*.

237. Ἀμφ' ὀδὰς ἀείρας) γρ. ἀμφωδὰς ἐρείσας, *Eustath.* fol. 626. lin. 29. & fol. 629. lin. 17. & *H. Steph.* Ἐρείσας. *Br. Schol.*

Τὰς νῦν ὑλείζων φορέεις, ἀλαλήμενος αἰεὶ
Ἄσυ κάτ· αὐτὰρ μῆλα κακοὶ φθείρουσι νομῆες.
Τὸν δ' αὖτε προσέφη Μελάνθιος, αἰπόλος αἰγῶν,
Ὤ πόποι, οἷον ἔειπε κύων, ὀλοφώϊα εἰδώς·
Τόν ποτ' ἐγὼν ἐπὶ νηὸς εὐσταλμοιο μελαίνης
Ἄξω τῆλ' Ἰθάκης, ἵνα μοι βίοτον πολὺν ἄλφοι.
Αἲ γὰρ Τηλέμαχον βάλοι ἀργυρότοξος Ἀπόλλων
Σήμερον ἐν μεγάροις, ἢ ὑπὸ μνηστῆρσι δαμείη,
Ὡς Ὀδυσῆί γε τηλοῦ ἀπόλλυται νόστιμον ἦμαρ.
Ὣς εἰπὼν, τὸς μὲν λίπεν αὐτόθι, ἦκα κίοντας,
Αὐτὰρ ὁ βῆ· μάλα δ' ὦκα δόμους ἵκανεν ἀνακτος.
Αὐτίκα δ' εἵπω ἷεν, μνηστῆρσι κάθιζεν,
Ἀντίον Εὐρυμάχου· τὸ γὰρ φιλέεσκε μάλιστα.
Τῷ ῥ' ὄγε μοῖραν κρειῶν μοῖραν θέσαν, οἱ πονέοντο.
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
Ἐδμεναι· ἀλχίμολον δ' Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
Στήτην ἐρχομένω· περὶ δὲ σφέας ἤλυθ' ἰωὴ
Φόρμιγγος γλαφυρῆς· ἀνὰ γὰρ σφισι βάλλετ' ἀείδειν
Φήμιος· αὐτὰρ ὁ χειρὸς ἑλὼν προσέφη συβώτην,
Εὖμαι', ἢ μάλα δὴ τάδε δώματα κάλ' Ὀδυσῆος,
Ῥεῖα δ' ἀείγνωτ' ἐστὶ καὶ ἐν πολλοῖσιν ἰδέσθαι.
Ἐξ ἑτέρων ἕτερ' ἐστίν· ἐπήσκηται δὲ οἱ αὐλὴ
Τοίχῳ καὶ θριγκοῖσι, θύραι δ' εὐεργέες εἰσὶ
Δικλίδες· οὐκ ἄν τίς μιν ἀνὴρ ὑπερπλίσαιτο.
Γιγνώσκω δ', ὅτι πολλοὶ ἐν αὐτῷ δαῖτα πίθενται
Ἄνδρες· ἐπεὶ κνίσση μοι ἀνήνοθεν, ἐν δέ τε φόρμιγξ

" Quas nunc injurias profers, errabundus semper
" Per civitatem: at pecora mali corrumpunt pastores.
Hunc rursus alloquutus est Melanthius, custos caprarum,
" Evax! quale dixit canis, astutias sciens?
" Quem aliquando ego in navi benè tabulatâ nigrâ
" Agam longè ab Ithacâ, ut mihi victum multum inveniat.
" Utinam enim Telemachum interficiat argentei arcûs Apollo
" Hodie in ædibus, vel à procis interficiatur,
" Sicut Ulyssi longè periit reditûs dies.
Sic loquutus, hos quidem liquit illic, lentè euntes:
At hic ivit, valdè autem celeriter ad ædes pervenit Domini.
Statimque introivit, & inter procos sedebat,
E regione Eurymachi; hunc enim colebat maximè.
Huic quidem carnium partem apposuerunt *ii*, qui *cibos* ministrabant:
Panemque veneranda proma conda apposuit ferens,
Ad comedendum: propè autem Ulysses & divinus subulcus
Steterunt venientes: circum enim venit sonitus
Citharæ concavæ, interque ipsos cœpit canere
Phemius: at hic manu captum alloquutus est subulcum,
" Eumæe, certè omninò hæ ædes pulchræ Ulyssis,
" Facilè etiam sunt dignoscendæ & inter multas visendæ.
" Ex aliis aliæ sunt: ornata est autem ei aula
" Muro & valvis, januæ verò benè laboratæ sunt
" Bifores, non aliquis ipsam vir vituperaverit.
" Cognosco autem, quòd multi in ipsâ convivia faciunt
" Viri; quoniam nidor quidem ascendit, cithara verò

ΣΧΟΛΙΑ.

247. Αἰπόλ.] Αἰγιόμ.
248. Κύων.] Ἀναιδὴς.
254. Κιόντας.] Πορευομένους.
256. Κάθιζεν.] Ἐκαθέζετο.
266. Ἐξ ἑτέρων ἕτερ' ἐστίν.] Διὰ τέτων βάλλει δηλῶν, ὡς ὁ μνηστεύων τῆ βασιλείων ἔντων, ἀλλὰ πολυτέκνων.
Ἐπήσκηται.] Μετ' ἐπιμελείας διακεκόσμηται.
267. Θριγκοῖσι.] Σπφάνοις, περιβόλοις. Εὐεργέες.] Ἀσφαλεῖς· εἰ δὲ εὐεργέες, καλῶς εἰρασμένας.
268. Ὑπερπλίσαιτο.] Ἤτοι ὑπερφανήσεται, *εὐπαλίσσειεν, ἢ εὐχερῶς ἐπιβουλεύσειεν.
270. Ἀνήνοθεν.] Ἀνήρχθη. Φόρμιγξ.] Κιθάρα.

NOTÆ.

* Vid. *Etymolog.* M. v. Ὑπερπλία.

251. Αἲ γὰρ Τηλέμαχον βάλοι ἀργυρότοξος Ἀπόλλων) Optat *Telemacho* mortem subitaneam; vel ut à *Procis* propediem occidatur. De *Phrasi* diximus, ad γ'. v. 279.

VARIÆ LECTIONES.

262. Γὰρ σφισι) γρ. δὲ σφισι, *H. Steph.*
267. Εὐεργέες) γρ. εὐερκέες, *Eustath.* fol. 630. lin. 4. *Br. Schol. H. Steph.*
270. Κνίσση) γρ. κνίσι, *Herodian.* apud *Eustath.* fol. 630. lin. 13. *Ibid.* Ἀνήνοθεν) γρ. ἀνήνοθε, *Eustath.* fol. 630. lin. 9. *H. Steph.*

Ἠτύϊ,

Ἠπύῃ, ἣν ἄρα δαιτὶ Θεοὶ ποίησαν ἑταίρῃ.
Τόνδ' ἀπαμφβόμενος προσέφης, Εὔμαιε συβῶτα,
Ῥεῖ' ἔγνως· ἐπεὶ οὐδὲ τά τ' ἄλλα πὲρ ἔασ' ἀνοήμων.
Ἀλλ' ἄγε δὴ φραζώμεθ', ὅπως ἔσται ταῦτα ἔργα.
Ἠὲ σὺ πρῶτος ἔσελθε δόμους εὖ ναιετάοντας,
Δύσεο δ' μνηστῆρας, ἐγὼ δ' ὑπολείψομαι αὐτῷ·
Εἰ δ' ἐθέλεις, ἐπίμενον, ἐγὼ δ' εἶμι προπάροιθε·
Μηδὲ σὺ δηθύνῃν, μή τις σ' ἔκτοθε νοήσας
Ἢ βάλῃ, ἢ ἐλάσῃ· τάδε σὲ φράζεσθαι ἄνωγα.
Τόνδ' ἠμείβεθ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς,
Γιγνώσκω, φρονέω· τά γε δὴ *νοέοντι κελεύεις·
Ἀλλ' ἔρχευ προπάροιθεν, ἐγὼ δ' ὑπολείψομαι αὐτῷ.
Οὐ γάρ τι πληγέων ἀδαήμων, οὐδὲ βολάων,
Τολμήεις μοι θυμός, ἐπεὶ κακὰ πολλὰ πέπονθα
Κύμασι καὶ πολέμῳ· μὴ καὶ τόδε τοῖσι γενέσθω.
Γαστέρα δ' οὔπως ἐστὶν ἀπόκρυφα μεμαυῖαν,
Οὐλομένην, ἣ πολλὰ κάκ' ἀνθρώποισι δίδωσι.
Τῆς ἕνεκεν καὶ νῆες εὔζυγοι ὁπλίσσονται
Πόντον ἐπ' ἀτρύγετον, κακὰ δυσμενέεσσι φέρουσαι.
Ὡς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
Ἂν δ' ἄρα κύων κεφαλήν τε καὶ οὖατα κείμενος ἔσχεν

" Sonat, quam convivio Dii fecerunt amicam.
Hunc respondens alloquutus es, Eumæe subulce,
" Facilè nosti; quoniam neque alioquin es imprudens;
" Sed agè jam consultemus, quomodo erunt hæc opera.
" Vel tu primùm ingredere ædes benè habitatas,
" Et accede procos; ego autem remanebo hic.
" Sin vis, remane; ego verò vadam ante;
" Neque tu morare, nè quis te extra animadvertens
" Vel percutiat, vel impellat; hæc te considerare jubeo.
Huic respondit statim prudens divinus Ulysses,
" Scio, cognosco, hæc jam intelligenti injungis:
" Sed vade antè, ego autem remanebo hic.
" Non enim prorsus plagarum insciius, neque ictuum,
" Patiens mihi animus, quoniam mala multa patius sum
" Undis & in bello; ad illa accedat & hoc.
" Ventrem etenim nullatenùs licet occultare avidum,
" Pernicioſum, qui multa mala hominibus dat:
" Cujus gratiâ & naves benè-transtratæ armantur,
" Pontum in indomitum, mala inimicis portantes.
Sic hi quidem talia inter se dicebant,
Canis autem caputque & aures jacens elevavit

ΣΧΟΛΙΑ.

271. Ἠπύει.] Ἔπηχεῖ.
273. Ἀνοήμων.] Ἀνόητος.
276. Δύσεο.] Εἴσελθε. Ὑπολείψομαι.] Ἀπολειφθήσομαι.
279. Βάλῃ.] Τύψῃ, πλήξῃ.
283. Βολάων.] Βλημάτων.
284. Τολμήεις.] Ὑπομενητικός.
288. Εὔζυγοι.] Εὖ σεσιζυγωμέναι, καὶ ἁρμοσμέναι. Ὁπλίσσονται.] Παρασκευάζονται.
291. Ἂν δ' κύων.] Πῶς τὸ μεταμορφούμενον ἐπιγινώσκει; ὅτι παρὰ τὰς ἀνθρώπους, καὶ τὰ ἄλογα ζῶα μᾶλλον ἀνεπλαμβάνει, καὶ οὐκ ἐξ ὀδμῆς αὐτὸν ἐπίγνω. ἀλλὰ μὴ τοσαῦτα ἔτη πῶς ἔζη; Ἀριστοτέλης φησὶν, τέσσαρα καὶ εἴκοσι ζῆν ἔτη κύνα. Ἔχειν.] Ἀνέτεινεν.

NOTÆ.

281. Γιγνώσκω, φρονέω· τάχα δὴ *νοέοντι κελεύεις) Ità quidem hic Versus legitur suprà, v. 193. & π'. v. 136. & ità *Eustath.* fol. 630. lin. 42. in ipsis παρεκβολαῖς, licet in *Textu*, utriusque Editionis, ut etiam in *Florentin. Aldin. Lovanian.* & omnibus aliis, hoc certè in loco, pro νοέοντι, legatur φρονέοντι, At quùm φρονέω præcedat in eodem Versu, Nos omnium Exemplarium fidem in Prioribus potiùs amplectimur.

285. Κύμασι καὶ πολέμῳ) Hic Versus legitur & aliàs, ε'. v. 224.

291. Ἂν δ' κύων Ἄργος Ὀδυσσῆος) Huc alludit *Ælian.* Histor. Animal. l. 7. c. 29. ubi bella de Canis fide Historiola. Vid. *Sext. Empiric.* l. 1. p. 14. *Br. Schol.* & Not. in *Scholia*, item *Eustath.* fol. 632. lin. 20. Καὶ ὅρα τὴν ἱστορίαν, ἐπὶ πόσον ὁ Ἄργος ἐξήρκεσε ζῆν· τεσσαρεσκαίδεκα γὰρ ἔτη, ὡς ὁ Ποιητὴς ἐπιτηδὲς παρεσημήνατο· ὅπου δὲ καὶ εἰκοσιπέντε ἔτη ζῶσιν ἔτη κύνες,

VARIÆ LECTIONES.

271. Ἄρα) γρ. ἀνὰ, *Plutarch.* Vit. *Homeri.*
281. Τάχα δὴ) γρ. ταῦτ' ἄρ', *Eustath.* fol. 630. lin. 42. *Ibid.* Νοέοντι) γρ. φρονέοντι, vid. Not. in *Textum.*

Ἄργος Ὀδυσσῆος ταλασίφρονος, οὖ ῥά ποθ' αὐτὸς
Θρέψε μιν, οὐδ' ἀπόνητο· πάρος δ' εἰς Ἴλιον ἱερὴν
Ὤιχετο· τὸν δὲ πάροιθεν ἀγίνεσκον νέοι ἄνδρες
Αἶγας ἐπ' ἀγροτέρας, ἠδὲ σχέδας, ἠδὲ λαγωούς.
Δὴ τότε κεῖτ' ἀπόθεστος, ἀποιχομένοιο ἄνακτος,
Ἐν πολλῇ κόπρῳ, ἣ οἱ πρόσθε θυράων,
Ἡμιόνων τε, βοῶν τε, ἅλις κέχυτ'· ὄφρ' ἂν ἄγοιεν
Δμῶες Ὀδυσσῆος τέμενος μέγα κοπρήσοντες·
Ἔνθα κύων κεῖτ' Ἄργος, ὀλίπλειος κυνοραιστέων.
Δὴ τότε γ', ὡς σύνιδεν Ὀδυσσέα ἐγγὺς ἐόντα,
Οὐρῇ μὲν ῥ' ὅγ' ἔσηνε, καὶ οὔατα κάββαλεν ἄμφω·
" Neque aliquem invideo dare, quantumvis multa acceperit.
" Limen tamen ambos hoc capiet: neque aliquid te oportet
" Ex alienis invidere alteri; videris etenim mihi esse erro,
" Sicut ego; opulentiam verò Dei differunt præbere,
" Manibus autem nè valdè provoca, nè me in iram conjicias,
" Nè te, licet sim senex, pectus & labra commaculem
" Sanguine; quiesque mihi & magis adhuc erit
" Cras: non quidem enim te reversurum puto

ΣΧΟΛΙΑ.

6. Ἶρον.] Παρὰ τὸ εἴρειν.
8. Διώκελο.] Ἐοίκει.
10. Εἶκε.] * Ὑποχώρει.
11. Ἐπιπλίζουσι.] Τοῖς ὄμμασι βλεπέτωσαν.
16. Ἀνελόντα.] Ἀντὶ τοῦ, ἀνελόμενον, λαβόντα.
17. Χείσεται.] Χωρήσει· ὀφειλ. τὰς καταδύσεις τῶν ὄφεων.
19. Ὄλβον δ᾽ θεοὶ μέλλουσιν ὀπάζειν.] Εἰώθασι δ᾽ οἱ θεοὶ * διανεμητικοὶ εἶναι εὐδαιμονίας, ἀπὸ ὧν φαίνονται ἡμῖν ἴλεω. Ὀπάζειν.] Παρέχειν, δωρεῖσθαι.
20. Προκαλίζεο.] Προκαλοῦ. Χολώσῃς.] Ὀργὴν ποιήσῃς.
21. Φύρσω.] Μολυνῶ.

NOTÆ.

ἐγών, Οἵ τε πολυσταφύλου τ᾽ Ἀρίλω ἶχον. Vid. *Etymol.* M. v. Ἀρναῖος, & *Eustath.* fol. 651. lin. 38. *Ibid.* Τὸ δ᾽ θέτο πότνια μήτηρ) Vid. ad *Var. Lect.* & quæ Nos ad *Euripid.* Electr. v. 1126.

11. Οὐκ ἀΐεις, ὅτι δή μοι ἐπιπλίζουσιν ἅπαντες) Similiter locutus Poeta, ῥ'. v. 545. Οὐχ ὁρᾷς, ὅ μοι ὑὸς ἐπέπαφεν σὺ μεχάροισιν; ubi τὸ ὁρᾷς, de re *audibili*, ut hic τὸ ἀΐεις, de re *visibili*; rectè omninò & ex mente Philosophiæ filiorum: Nam quùm *Animus* omnia in Sensibus agat, & Organa sint Sensûs *Animi*, quævis Perceptio per quemvis Sensum potest exprimi; undè *Epicharmus*, Νῆς ὁρᾷ, ἢ νῆς ἀκούει· πᾶλλα κωφὰ νῷ πέφλα. Et *Ovid.* de *Pythagorâ*, ——*quæ Natura negavit Visibus humanis, Oculis ea Pectoris hausit.* Quod siquis mavelit esse litigiosior, referri potest ad sequentia verba, Ἑλκέμεναι δ᾽ κέλονται. Vid. *Eustath.* fol. 1831. lin. 50. Edit. *Roman.* & fol. 652. lin. 19. Edit. *Basil.* de voce ἐπιλλίζω, & *Porphyr.* Ζητημ. Ὁμηρικ. ια'. *Etymolog.* M. v. Ἐπιπλίζουσιν. *Suidas*, v. Ἐπιλλίζω.

22. Αἵματι) Τὸ ἐξῆς, φύρσω τῷ αἵματός μου φύρματι. Ut *Act.* c. 27. v. 1. Ἀπεκδύσασθαι δ᾽ ἀποπλεῖν, δηλονότι τὸ κεῖμαι.

NOTÆ IN SCHOLIA.

10. * Ὑποχώρει) Ità pro ὑπεχώρει, scribo, quòd εἶκε sit *Imperandi* Modo in hoc loco, &c.
19. * Διανεμητικοὶ, MS. Αἰολικοὶ δωρικοὶ, voce ejusdem significationis.

VARIÆ LECTIONES.

7. Πῆ τις) κ. κήν τις, *H. Steph.*
11. Ἅπαντες) κ. Ἀχαιοὶ, *Etymol.* M. v. Ἐπιπλίζουσιν.
18. Ἀλλοτρίων φθονέειν) κ. ἀλλοτριοφθονέειν, *H. Steph.*

Δεύτερον ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος.
Τόνδε χολωτὰμενος προσεφώνεεν Ἶρος ἀλήτης,
Ὦ πόποι, ὡς ὁ μολοβρὸς ἀπιδοχάδην ἀγορεύει,
Γρηῒ καμινῷ ἶσος· ἐν ἀν κακὰ μηλοσαίμιν,
Κόπτων ἀμφοτέρῃσι, χαμαὶ δ' ἐκ πάντας ὀδόντας
Γναθμοῖς ἐξελάσαιμι, συὸς ὡς ληϊβοτείρης.
Ζῶσαι νῦν, ἵνα πάντες ἀπογνώσι καὶ οἵδε
Μαρναμένους· πῶς δ' ἂν σὺ νεωτέρῳ ἀνδρὶ μάχοιο;
Ὣς οἱ μὲν προπάροιθε θυράων ὑψηλάων
Οὐδοῦ ἔπι ξεστῷ παναθυμαδὸν ὀκριόωντο.
Τοῖιν δ' ξυνέηχ' ἱερὸν μένος Ἀντινόοιο,
Ἡδὺ δ' ἄρ' ἐκγελάσας μετεφώνεε μνηστῆρσιν,
Ὦ φίλοι, ἢ μάλα πω τι πάρος τοιοῦτον ἐτύχθη·
Οἵλῳ περπόλιον Θεὸς ἤγαγεν ἐς τόδε δῶμα;
Ὁ ξεινός τε καὶ Ἶρος ἐρίζετον ἀλλήλοιϊν
Χερσὶ μαχέσασθαι· ἀλλὰ ξυνελάσομεν ὦκα.

" Iterum intra domum Laërtiadæ Ulyssis.
Hunc iratus alloquutus est Irus mendicus,
" Vah! ut iste gulosus volubiliter loquitur
" Vetulæ fuliginosæ similis; quem male mulctabo,
" Percutiens ambabus *manibus*: in terram etenim omnes dentes
" Maxillis expeliam, porci sicut segetem depascentis.
" Cinge nunc; ut omnes agnoscant & hi
" Nos pugnantes: quomodo enim tu juniori viro pugnabis?
Sic hi quidem ante januas altas
Limine in polito toto-animo litigabant.
Hos autem animadvertit sacrum robur Antino;
Suaviterque ridens alloquutus est procos,
" O amici, non quidem unquam aliquid antea tale tactum est;
" Qualem delectationem Deus duxit in hanc domum!
" Holpesque & Irus contendunt mutuò
" Manibus pugnare: verum committamus citò.

Σ Χ Ο Λ Ι Α.

26. Ἐπιχοάδην.] Ἐπισυρμῶς. Ἀγορεύει.] Διαλέγεται.

27. Καμινοῖ.] Καμινοδόλειᾳ, φρυγόσῃ κεραμεύς· ἔστι δὲ καὶ εὐθεῖα, καμινεύ.

28. Κόπτων.] Πλήσσων, τύπτων.

29. Ληϊβοτείρης.] Τῆς καταφθειρούσης τὸ λήϊον, ὅ ἐστι τὸ σπόρον χορεῖον· ἐὰν γὰρ εὐρεθῇ συὸς ἀλλότριον σπέρμον πεδίον βοσκομένη, ἐξοδεύεται.

30. Ἐπιγνώσι.] Ἀντὶ τοῦ, γνόσιν.

31. Μαρναμένους.] Μαχομένους.

33. Παναθυμαδόν.] Ἐκθύμως, πάσῃ τῇ ψυχῇ, ἄγαν ὀργίλως. Ὀκριόωντο.] Ἐτραχύνοντο, διεφέροντο, διεπληκτίζοντο.

37. Οἵλῳ.] Ὁποίαν. Περπολίον.] Πέρψιν.

38. Ἐρίζετον.] Φιλονεικοῦσιν. Ἀλλήλοιϊν.] Πρὸς ἀλλήλους.

39. Ξυνελάσομεν.] Συμβάλλομεν.

N O T Æ.

27. Μηλοσαίμιν) Ità scribendum, Duplici σ', ob *Metrum*; ut ad μ'. v. 373.

29. Συὸς ὡς ληϊβοτείρης) Huc refer *Ælian.* Animal. l. 5. c. 45. in ipso fine, Ἐν Σαλαμῖνι δ', χλωρᾷ σίτῳ καὶ λήϊῳ κομῶντος, ἐὰν τις ἐμπεσοῦσα ἀποκείρῃ, νόμος ἐστὶ Σαλαμινίων τὰς ὀδόντας σπερᾶν αὐτῆς· καὶ τοῦτο εἶναι τὸ παρ' Ὁμήρῳ, συὸς ληϊβοτείρης φασὶν οἱ δὲ ἑτέρως τοῦσιν, καὶ λέγουσι, χλωρᾷ σίτῳ τῷ ὑπ' ἀμπελῶνι, καθάπερ ἔχει τὰς ὀδόντας. *Eustath.* fol. 653. lin. 36. Σὺς δὲ ληϊβότειρα, ἡ ἀλλοτρίαν ἀλλότριον λήϊον· ἢ ἐξωδεύλιζον οἱ ἀστοί· δὲ χωρίς· ὁ νόμος δὲ φασι παρὰ Κυπρίοις. Confer *Er. Schol* quòd *Edentatio* Suum, alienam segetem depascentium, ex Lege *Cypriotum*, vel *Salaminiorum Cypriorum* fiat, vid. *Conrad. Gesneri* Histor. Quadruped. fol. 884. & Hieroglyph. *Pierii*, l. 8. fol. 63. E.

34. Ἶρος μέν) Qui ἰλαρὸν legebant, nesciebant *Homerum* ad *Antinoi* μένος referre, quod à Deo provenit, non ad ipsum; & ἰλαρὸν, minimè Vox *Homerica*. Ità olim, II. sive Hymn. *Apollin.* v. 371. ἱμερον, pro ἱερόν.

36. Οὐ μὲν πώ τι παρος τοιοῦτον ἐτύχθη) Miror, Nemini observatum, quod τηλικοῦτος, τοσοῦτος, τοιοῦτος, non modò in *Neutro* genere desinant in ον, verùm etiam in ος quod multis probo, in Prælect. *Pindaric.* §. XII. ex *Eusebio*, D. *Basilio*, D. *Chrysostomo*, *Luciano*, *Euripide*, *Xenophonte*, *Homero*.

Variæ Lectiones.

24. Δεύτερον ἐς μέγαρον) γρ. αὖτις ἔσω μεγάρου, *H. Steph.*

27. Μηλοσαίμιν) γρ. μηλοσαίμιλον, Priores Codd.

34. Τοῖιν) γρ. τοῖσιν, *H. Steph. Ibid.* Ἶρος) γρ. ἰλαρὸν. Vid. Not. in *Textum*.

35. Μετεφώνεε) γρ. μετεφώνῃ, *H. Steph.*

Ὡς

Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀνήϊξαν γελόωντες,
Ἀμφὶ δ' ἄρα πλωχὸς κακοείμονας ἠγερέθοντο.
Τοῖσιν δ' Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός,
Κέκλυτέ μοι, μνηστῆρες ἀγαυόεργες, ὄφρα τί εἴπω·
Γαστέρες αἶδ' αἰγῶν κέατ' ἐν πυρί· τάσδ' ἐπὶ δόρπῳ
Κατθέμεθα, κνίσης τε καὶ αἵματος ἐμπλήσαντες·
Ὁππότερος δέ κε νικήσῃ, κρείσσων τε γένηται,
Τάων ἥν κ' ἐθέλῃσιν ἀναστὰς αὐτὸς ἑλέσθω·
Αἰεὶ δ' αὖτ' ἡμῖν μεζοδαίσιος, οὐδέ πιν' ἄλλον
Πτωχὸν ἔτω μίσγεσθαι ἐπασσύμεν αἰτήσοντα.
Ὣς ἔφαθ' Ἀντίνοος· τοῖσιν δ' ἐπιήνδανε μῦθος.
Τοῖς δὲ δολοφρονέων μετέφη πολύμητις Ὀδυσσεύς,
Ὦ φίλοι, οὔπως ἐστὶ νεωτέρῳ ἀνδρὶ μάχεσθαι
Ἀνδρα γέροντα, δύῃ ἀρημένον· ἀλλά με γαστὴρ
Οἰκείη κακοεργὸς, ἵνα πληγῆσι δαμείω.
Ἀλλ' ἄγε νῦν μοι πάντες ὀμόσσατε καρτερὸν ὅρκον,
Μή τις ἐπ' Ἰρῳ ἧρα Φέρεσς ἐμὲ χειρὶ παχείῃ
Πλήξῃ ἀταθάλλων, τύτῳ δέ με ἶφι δαμάσσῃ.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀπώμνυον, ὡς ἐκέλευεν·
* Αὐτὰρ ἐπεί ῥ' ὄμοσάν τε, τελεύτησάν τε τὸν ὅρκον,
Τοῖσιν αὖτις μετέειφ' ἱερὴ ἰς Τηλεμάχοιο,
Ξεῖν', εἴ σ' οἰκήοιο κραδίη τε θυμός τ' ἀγαίῃ,
Τοῦτον ἀλέξασθαι, τῶνδ' ἄλλων μή τιν' Ἀχαιῶν
Δείδιθ'· ἐπεὶ πλεόνεσσι μαχήσεται, ὅς κέ σε θείνῃ.
Ξεινοδόκος μὲν ἐγών, ἐπὶ δ' αἰνείτων βασιλῆες

Sic dixit: hi igitur omnes surrexerunt ridentes,
Circumque pauperes pannosos congregati sunt.
Hisce Antinous locutus est, Eupithei filius,
" Audite me, proci strenui; ut aliquid dicam:
" Ventres hi caprarum jacent in igne; quos in cœnam
" Deposuimus, pinguedine & sanguine impletos.
" Uter igitur vincet potentiórque fuerit,
" Horum quam voluerit, ubi surrexerit, ipse eligat.
" Semper etiam deindè nobiscum convivabitur, neque aliquem alium
" Pauperem intus mitcri finemus mendicaturum.
Sic dixit Antinous: atque his placuit sermo.
Hos autem astutus alloquutus est prudens Ulysses,
" O amici, nullo modo *æquum* est cum juniori viro pugnare
" Virum senem, calamitate *insuper* debilitatum; sed me venter
" Movet malus-artifex, ut plagis domer.
" Verùm età nunc mihi omnes jurate forte juramentum,
" Nè quis Iro auxilium ferens, me manu forti
" Percutiat prævaricans, illâque re me fortiter domet.
Sic dixit; hi autem omnes juraverunt, sicut postulabat:
At postquam juraverant, & finierant juramentum,
Inter hos rursus locuta est vis sacra Telemachi,
" Hospes, si te movet cor & animus fortis,
" Hunc expellere; aliorum nè aliquem Achivorum
" Time, quoniam pluribus pugnabit, qui te verberabit.
" Hospitii-dominus equidem ego; assentiuntur verò præterea principes

ΣΧΟΛΙΑ.

41. Κακοείμονας.] Κακὰ ἱμάτια φθειρόληπτα.
43. Ἀγλαόεργες.] Νῦν, οἱ ἄγαν ἀνδρεῖοι.
44. Γαστέρες αἶδ' αἰγῶν.] Τὰς φυσικὰς λέγει· οἰκεῖον τὸ ἔθλον, τοῖς λιμῷ γαστέρα δυσχεραίνουσιν.
45. Κατθέμεθα.] Καταθέμεθα.
48. Μεζοδαίσιος.] Σωσυσχηθήσεται.
50. Ἤνδανε.] Ἤρεσκε.
51. Δολοφρονέων.] Ἀπατῶν.
57. Δαμάσσῃ.] Τύψῃ, δείρῃ.
63. Ξεινοδόκος.] Ὁ τὰς ξένους ὑποδεχόμενος. Ἐπὶ δ' αἰνείτων.] Συγκαταθήσονται.

NOTÆ.

53. Ἀρημένον) Vid. *Etymolog.* M. v. *Eustath.* fol. 365. lin. 34. βεβλαμμένον, exponit.

59. Αὐτὰρ ἐπεί ῥ' ὄμοσάν τε, τελεύτησάν τε τὸν ὅρκον.) Hic Versus, qui è pluribus Editionibus exciderat,

VARIÆ LECTIONES.

44. Τάσδ') γρ. τὰς δ', *H. Steph.*
50. Ἐπιήνδανε) γρ. ἐπὶ ἤνδανε, *Br. Schol.*
58. Ὡς ἐπίλλοιεν, Αὐτὰρ ἐπεί ῥ' ὄμοσαν—Τοῖσδ' αὖτις) γρ. ὡς ἐπίλλοιε, Τοῖς δ', vid. Not. in *Textum*, v. 59.
59. Μετέειφ') γρ. μετέφη, *Eustath.* & *H. Steph.* Vid. infrà, v. 404.

* Ἀντὶ-

* Ἀντίνοός τε, ϗ Εὐρύμαχος, πεπνυμένω ἄμφω.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπήνεον· αὐτὰρ Ὀδυσσεὺς
Ζώσατο μὲν ῥάκεσιν περὶ μήδεα, φαῖνε δ' ὑπ' ἀργὸς
Καλός τε, μεγάλως τε, φάνεν δέ οἱ εὐρέες ὦμοι,
Στήθεά τε, σφυρόι τε βραχίονες· αὐτὰρ Ἀθήνη
Ἄγχι παρισταμένη μέλε' ἤλδανε ποιμένι λαῶν.
Μνηστῆρες δ' ἄρα πάντες ὑπερφιάλως ἀγάσαντο·
Ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον,
Ἦ τάχα Ἰρῷ ἄιρῷ ἐπίσπαστον κακὸν ἕξει·
Οἵην ἐν ῥακέων ὁ γέρων ἐπιγυίδα φαίνει.
Ὣς ἄρ' ἔφαν· Ἴρῳ δὲ κακῶς ὠρέξατο θυμός.
Ἀλλὰ ϗ ὣς δρηστῆρες ἄγον ζώσανλες ἀνάγκῃ,
Δειδίσσα· σάρκες δὲ περιδρομέοντο μέλεσσιν.
Ἀντίνοος δ' ὀνόμηνε, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν,
Νῦν μὲν μήτ' εἴης, βυγάτηρ, μήτε γένοιο,
Εἰ δὴ τῶτόν γε τρομέεις ϗ δείδιας αἴνως,
Ἄνδρα γέροντα, δύῃ ἀρημένον, ἢ μιν ἰκάνει.
Ἀλλ' ἔκ τοι ἐρέω, τόδε ϗ τετελεσμένον ἔσται,
Αἴ κέν σ' ὅτος νικήσῃ, κρείσσων τὲ γένηϑ',
Πέμψω σ' Ἠπειρόνδε, βαλὼν ἐν νηῒ μελαίνῃ,

" Antinousque, & Eurymachus, prudentes ambo.
Sic dixit; hi igitur omnes assensi sunt; at Ulysses
Circumcinxit quidem pannis genitalia, ostenditque crura
Pulchra quidem, magnaque; apparuerunt autem ei lati humeri,
Pectoraque, fortiaque brachia: at Minerva
Prope astans membra auxit pastori populorum.
Proci igitur omnes vehementèr admirati sunt:
Sic autem aliquis dixit conspicatus ad propinquum alium,
" Certe citò Irus miser-Irus adscitum malum habebit:
" Qualem ex vestimentis senex coxam ostendit.
Sic dixerunt, Iro autem miserè motus est animus.
Verùm & sic famuli duxerunt per circlum necessitate,
Timentem; carnes verò circum tremebant membra.
Antinous igitur increpuit, verbumque locutus est, atque nominavit,
" Nunc quidem neque elies, jactator, neque natus fores;
" Siquidem hunc tremis & times graviter,
" Virum senem, calamitate debilitatum, quæ ipsum capit.
Sed tibi edico, quod & perfectum erit,
" Si te hic vincet, potentiorque erit,
" Mittam te in Epirum, conjectum in navi nigrâ,

Σ Χ Ο Λ Ι Α.

69. Ἤλδανεν.] Ηὔξανεν.
70. Ἀγάσαντο.] Ἐθαύμασαν.
72. Ἄιρῳ.] Ἴρῳ, * ἐπὶ κακῷ ὀνομαζόμενος. Ἔπισπαστόν.] Ἑκάσιον, ἀπὸ τῶν ὀρνίθων τῶν διλεκζομένων ἢ ἑλκόντων. ἐπισπωμένων ἑαυτῶν τὸ ὄλεθρον.
78. Βυγάτηρ.] Μεγάλως ἐπαινέσθη, ῥοῶν ἔργα ποιῶν.

N O T Æ.

in utrâque *Eustathii* Editione, *Romanâ* atque *Basileensi*, rectè adest; quare restituendum Poetæ curavi. Inter *Var. Lect.* agnoscit *H. Steph.* at in aliis locis extat in omnibus Codd.

64. * Ἀντίνοός π, ϗ Εὐρύμαχος) Ità Codd. *Eustathiani*, in *Textu* simul & *Notis*; & ità decebat Regium Juvenem, qui palpum omnibus Procis obtrudit, Principem Procorum omnium *Antinoum*, primò Nominare; in pluribus hactenùs erat Εὐρύμαχός τε, ϗ Ἀντίνοος. At *Antinous*, ut præstantior, potest etiam ultimò nominari, ut mox, φ'. v. 277.

72. Ἦ τάχα Ἰρῷ ἄιρῷ) Ità Πάρις δύσπαρις, *Iliad.* γ'. v. 39. & καρηκομόων, *Odyss.* τ'. v. 260.

73. Οἵην ἐν ῥακέων ὁ γέρων) *Strabo*, l. 1. fol. 28. Οἵην ἐν ῥακέων ὁ βίος, παροιμιακῶς.

78. Βυγάτηρ) Τὸ βυ καὶ ἐπίτασιν· ὡς ἐν τῷ βυπίνα, ἡ μεγάλη πίνα· ϗ βύγλωσσον, βύπαις, βυλιμία, βυθρωπις, *Homero*. Vid. *Eustath.* fol. 806. lin. 16. 944. 12. & 1205. 11. Etiam *Odyss.* fol. 637. lin. 48. Γαίων ἦ, τὸ γαυριῶν, ὄθεν τὸ, κύδει γαίων.

NOTÆ IN SCHOLIA.

72. * Ἐπὶ κακῷ) Has voces addo, ex aliis paribus locis, ut *Iliad.* γ'. v. 39. & π'. v. 31. Confer *Hesych.* v. Αἰναρίτη, item *Meric. Casaubon.* de Nuperâ *Homeri* Edit. §. 1. p. 62. & *Duportum.*

VARIÆ LECTIONES.

64. Ἀντίνοός τε ϗ Εὐρύμαχος) γρ. Εὐρύμαχός τε ϗ Ἀντίνοος, vid. Not. in *Textum*.
66. Μιν) γρ. νιν, *H. Steph.* non satis congruè.
81. Τόδε) γρ. τὸ δ', olim in pluribus, non benè.

Eis

Εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων,
Ὃς κ' ἀπὸ ῥῖνα τάμῃσι, καὶ οὔατα νηλέϊ χαλκῷ,
Μήδεά τ' ἐξερύσας, δώσῃ κυσὶν ὠμὰ δάσασθαι.
Ὣς φάτο· τῷ δ' ἔπι μᾶλλον ὑπὸ τρόμος ἕλλαβε γυῖα·
Ἐς μέσσον δ' ἄναγον· τὼ δ' ἄμφω χεῖρας ἀνέχον.
Δὴ τότε μερμήριξε πολύτλας δῖος Ὀδυσσεύς,
Ἦ ἐλάσῃ, ὥς μιν ψυχὴ λίποι αὖθι πεσόντα,
Ἦέ μιν ἦκ' ἐλάσῃσι, τανύσσειέν τ' ὀπὶ γαίῃ.
Ὣδε δέ οἱ Φρονέοντι δόσσαλο κέρδιον εἶναι,
Ἦκ' ἐλάσαι, ἵνα μή μιν ἐπιφραδσαίατ' Ἀχαιοί.

" Ad Echetum regem hominum nequissimum omnium.
" Qui nasum abscindet, & aures sævo ære:
" Genitaliaque extrahens dabit canibus cruda dilcerpenda.
Sic dixit; huic vero adhuc magis tremor subivit membra:
Nihilominùs in medium duxerunt; hi igitur ambas manus elevaverunt.
Sane tunc cogitavit laboriosus divinus Ulysses,
An percuteret; ut ipsum anima linquat illic cadentem,
An ipsum sensim percuteret, extenderetque in terram.
Sic autem ei cogitanti visum est melius esse
Sensim percutere, ut non ipsum subolerent Achivi.

ΣΧΟΛΙΑ.

84. Εἰς Ἔχετον βασιλῆα βροτῶν δηλήμονα πάντων.] Ἔχετος ἦν μὲν ὁ Βυκέτης, ἀφ' οὗ καὶ ἡ Σικελίας πόλις Βύκετος καλεῖται. Σικελῶν δὲ τύραννος λέγεται. τοῦτον τὸν μὲν ἐγχωρίως καθὼ πάντα τρόπον σίνεσθαι, τοὺς δὲ ξένους ἀναιρεῖν * λωδώμου· τοσαύτην δὲ κακίαν ἔχειν, ὡς καὶ τὰς μακρὰν οἰκούσας, ὅτι φίλοιεν σφόδρα πιὰ πιμαρῆσαι, καὶ ξένοις παραβαλεῖν θανάτου ἐπίσημον * αὐτῷ· πολλὰς δὲ μηχανὰς ἐξούρειν τοῦτον αἰκίας· ὅθεν τὸ λαὸν ἐκ ὑπομῆναι τὴν πικρὰν παύτην τυραννίδα, λέγοις δὲ αὐτὸν ἀνελεῖν. ἡ δὲ ἱστορία παρὰ Μυασέᾳ καὶ Μαρσύᾳ. Ἔχετον.] Ἔχετος βασιλεὺς ἦν ἐν Ἠπείρῳ, Εὐχιώρου παῖς, ὠμὸς καὶ ἀπίτομος, ὃς καὶ τὴν θυγατέρα Μετώπην, ἣν Ἄμφισσαν, ὑπὸ Αἰχμοδίκης φθαρεῖσαν, πηρώσας, ἀναγκάσας σιδηρᾶς ἀλεῖν κριθὰς, λέγων τότε ἀποδώσειν τὰς ὄψεις, ὅτι ἀλέσῃ τὰς κριθάς· τὸν δὲ Αἰχμοδίκην ἐπὶ ἑστίασιν καλέσας, ἀκρωτηριάσας, καὶ τὰ αἰδοῖα αὐτῷ ἀπέκψεν· ὕστερον δὲ καὶ μανεὶς, ἐσθίει τὰ ἴδια ἐμφορηθεὶς σαρκῶν ἀπέσθη.

85. Τάμῃσι.] Κόψῃ.

86. Ἐξερύσας.] Ἐξελκύσας.

90. * Ἐλάσσειε.] Πλήξειε βαλών.

NOTÆ.

84. Εἰς Ἔχετον βασιλῆα) Huc refer Proverbium ex *Michaelis Apostolii* Centur. xx. Φαλαίλοδος ἀρχὴ καὶ Ἐχέτου. *Eustath.* fol. 658. lin. 21. Ἔχετος, βασιλεὺς ἦν τῆς Ἠπείρου, ὡς Εὐχήτορος καὶ Φλογίας, ὠμὸς καὶ ἀπάνθρωπος, ὃς ἐν τῇ θυγατέρᾳ Μετώπῃ, ἣν καὶ Ἄμφισσαν, ὑπό τινος Αἰχμοδίκου φθαρεῖσαν, πηρώσας, ἀναγκάσας ἀλήθειν κριθὰς σιδηρᾶς, πιθανώτατος κελεύσῃ αὐτῷ εἰπὼν τηνικαῦτα τὰς ὄψεις ἀποληψεσθαι, ὅτι τὰς πιαύτας κριθὰς εἰς ἄλφιτα λεπτυνεῖ καὶ τὴν θυγατέρα οὕτω μετῆλθε· τὸν δὲ Αἰχμοδίκην, ὡς ἐπὶ ἑστίασιν καλέσας, ἀκρωτηριάσας, ἀπεκόψας ἐκ τῶν αἰδοίων. τέλος μέντοι ὑπερμανεὶς καὶ τῶν ἰδίων ἐμφορηθεὶς σαρκῶν ἀπέσθη, φασίν. Hunc locum explicat, & confirmat *Apollon.* Argonautic. l. 4. v. 1102. ——— νέον γὰρ ἔτι ἐν' ἀσπιλὲς Ὑβρίσης Ἔχετον γλήναις ἔνι χάλκεα κέντρα Πῆξε θυγατρὸς ἧς· τοιοῦνεκα δὴ ὅτε τὴν Ὀρφναίην σὺν χαλκὸν ἀλιτεύουσα καλιῇ. Quòd autem *Scholiastes* Ἀχαιοί) Ἐντυῦθα, οἱ μνηστῆρες, ut suprà, ρ'. v. 513. & infrà, σ'. v. 190. Vid. ad v. 11. *Var. Lect.*

NOTÆ IN SCHOLIA.

84. * Λωδώμου, emendo, pro λαδώμου. & αὐτῷ, pro αὐτάς. N. B. Prior pars hujus *scholii* ad Μαρσύᾳ, extat quidem in MS. & in tribus Vett. *Impressis*, verùm non ad hunc locum; sed ad finem ipsum. Altera pars ejusdem *Schilii*, extat in hoc suo loco, tam in Msto, quàm in reliquis. Verùm non ejusdem esse manûs videtur, verùm ex *Eustathio* ferè ad verbum sumpta, aut viceversâ; vid. in Notis ad *Textum*.

90. * Ἐλάσσειε) Πλήξειε βαλών. Ità, pro *Futuro Indicativi*; vid. Not. in *Textum*.

VARIÆ LECTIONES.

88. Ἔλλαβε) γρ. ἤλυθε. *H. Steph.*

90. Ἐλάσσειε) γρ. ἐλάσῃ, olim, pro ἐλάσῃ, ut probo in Not. ad *Textum*.

91. Τανύσσειέν τ') γρ. τανύσειεν, olim, male.

Δὴ

Δὴ τότ' ἀναχλιμίνω, ὁ μὲν ἤλασε δεξιὸν ὦμον
Ἶρος, ὁ δ' αὐχένα ἔλασεν ὑπ' οὔατος, ὀξέα δ' εἶπε
Ἔθλασεν· αὐτίκα δ' ἦλθεν ἀνὰ στόμα φοίνιον αἷμα,
Κὰδ δ' ἔπεσ' ἐν κονίῃσι μακὰς, σὺν δ' ἤλασ' ὀδόντας,
Λακτίζων ποσὶ γαῖαν· ἀτὰρ μνηστῆρες ἀγαυοὶ
Χεῖρας ἀναχόμενοι γέλω ἔκθανον· αὐτὰρ Ὀδυσσεὺς
Εἵλκε δι' ὁμφροδύροιο, λαβὼν ποδὸς, ὄφρ' ἵκεθ' αὐλὴν,
Αἰθούσης τε θύρας, καί μιν ποτὶ ἕρκεϊ αὐλῆς
Εἶσεν ἀνακλίνας· σκῆπτρον δέ οἱ ἔμβαλε χειρὶ,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα,
Ἔνταυθοῖ νῦν ἧσο, κύνας τε σοὺς τ' ἀπερύκων,
Μηδὲ σύ γε ξείνων καὶ πτωχῶν κοίρανος εἶναι,
Λυγρὸς ἐών· μή πού τι κακὸν καὶ μεῖζον ἐπαύρῃ.
Ἦ ῥα, καὶ ἀμφ' ὤμοισιν ἀεικέα βάλλεο πήλῳ,
Πυκνὰ ῥωγαλέα· σὺν δ' ὄφρ' ἧεν ἀορτήρ.
Ἂψ δ' ὅγ' ἐπ' ἀδὸν ἰὼν καθ' ἕαρ' ἕζετο· τοὶ δ' ἴσαν εἴσω
Ἡδὺ γελώοντες, καί ἑ δεικανόωντ' ἐπέεσσιν,
Ζεύς τοι δοίη, ξεῖνε, καὶ ἀθάνατοι Θεοὶ ἄλλοι,
Ὅ, τι μάλιστ' ἐθέλεις, καί σοι φίλον ἔπλεο θυμῷ,

Tunc itaque elevati, hic quidem percussit dextrum humerum
Irus, ille autem cervicem percussit sub aure, ossaque intus
Fregit, tactumque venit in os ruber sanguis:
Decidit autem in pulveribus clamans, simulque ejecit dentes;
Calcitrans pedibus terram: at proci superbi,
Manibus elevatis risu emoriebantur,
Sed Ulysses
Pertraxit per vestibulum, capto pede; quousque ivit ad atrium,
Portasque januas, & ipsum ad septum atrii
Statuit reclinatum, baculumque ei imposuit manu,
Et ipsum compellatum verbis velocibus alloquutus est,
" Hic nunc sede, canesque, suosque expellens;
" Neque tu quidem hospitum, & pauperum dominus esto,
" Cum sis nequam; necubi aliquid malum & majus accipias.
Dixit, & circum humeros indecentem jecit pera,
Densis *sectis* rimosam, tortumque inerat lorum.
Retrò verò hic ad limen iens desedit; at illi ibant intrò
Suaviter ridentes, & eum blandè exceperunt verbis,
" Jupiter tibi det, hospes, & immortales Dii alii,
" Quodcunque maximè vis & tibi gratum est animo;

ΣΧΟΛΙΑ.

94. Ἀναχλιμίνω.] Ἀναπίπτω.
96. Φοίνιον.] Ἐρυθρὸν, πυῤῥόν.
97. Σὺν δ' ἤλασε.] Συνέκρυσε.
99. Γέλῳ ἔκθανον.] Ἀπέθανον ὑπὸ γέλωτος.
104. Ἔνταυθοῖ.] Ἔνταυθα, ἐν τούτῳ τῷ πτερῷ.
Ἀπερύκων.] Ἀποκωλύων.
110. Γελώοντες.] Γελῶντες. * Δεικανόωντ' ἐπέεσσιν.] Ἤγουν ἐδείξιόν τε, παρὰ τὸ δείκνυμι.

NOTÆ.

99. Γέλῳ ἔκθανον) *Suidas*, Ἐν χερὶ τῷ χειρὶ ὁ χερὼς, καὶ χερῶ. Ἀττικῶς· ὡς γέλως, γέλω· οἱ δὲ, ἀπὸ τοῦ χερὼς, χειρὶ, ἀπογραφῇ τῶν συλλαβῶν. *Eustath.* fol. 659 lin. 15. Ἐν δὲ τῷ γέλω, ἀδήλου, εἰπὼν καθ' ἑαυτὸν καθέλκειν κλίσιν ἡ διασκαβία τοῦ γέλω, εἰπὼν ἐκ τοῦ ἀπογράφω, ἐκ τοῦ γέλωτος· ὅπερ οὐδ' ἂν ἔχοι τὸ ἰῶπα ἀποσπασμένον· ἢ οἱ αὐτὸ ἀδηλόν τι ἐπὶ τοῦ ἥρω, αὐτὶ τοῦ ἥρωι. Vid. ad Ψ. v. 483. & ζ. v. 303.

101. Ἐρείσιν) De Tono, vid. ad *Iliad.* ι'. v. 472.

104. Κύνας τε, σύας τ' ἀπερύκων) *Voculam* priorem τε *Henricus Stephanus* fortè omisit, *Schrevelius* etiam hunc errorem cæcè secutus; restituo tamen, ex *Florentinâ*, *Aldinâ*, *Lovaniana*, *Romanâ*, & *Basileensi Eustathii*, *Hervagianâ*, *Castellion.* & *Oxon.*

111. Ζεύς τοι δοίη, ξεῖνε) Observa insigne Omen, quo ipsi ejusdem inimici omnia illi felicia apprecantur; quo major ei Audacia & Fides accresceret: qualia multa passim notanda, nec pauca illis, quæ *Gideoni* obtigerunt, *Judic.* c. 6. & 7. similia; ut mox, v. 116. 121. 152. &c. Item τ'. v. 358. 535. Denique υ'. v. 100. 120. 199. 350. φ'. v. 153. 413. χ'. v. 205. &c.

NOTÆ IN SCHOLIA.

110. * Δεικανόωντ') Hæc ex *Aloysii* MSto.

VARIÆ LECTIONES.

99. Γέλῳ) γρ. γέλῳ, vid. Not. ad *Textum*.

104. Κύνας τε, σύας τ') γρ. κύνας, σύας τε, *Elzevir.* contra fidem Veterum, Prosodiam, &c.

106. Ἐπαύρῃ) γρ. ἐπαύρῃς, *H. Steph.*

109. Ἂψ δ' ὅγ' ἐπ' ἀδὸν) γρ. ἂψ δ' ἄρ' ὅγ' ἔβη, *H. Steph.*

110. Καί ἑ δεικανόωντ') γρ. καὶ δεικανόωντ', *H. Steph.*

Ὅς

Ὅς τῦτον τ' ἄναλτον ἀληθύειν ἀπέπαυσας
Ἐν δήμῳ· τάχα γάρ μιν ἀνάξομεν Ἠπειρόνδε
Εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων.
Ὣς ἄρ' ἔφαν· χαῖρεν δὲ κλεηδόνι θεῖος Ὀδυσσεύς·
Ἀντίνοον δ' ἄρα οἱ μεγάλῃ ῥαφὴ γαστέρα θῆκεν
Ἐμπλείῃ κνίσης τε καὶ αἵματος· Ἀμφίνομος δὲ
Ἄρτυς ἓξ κανέοιο δύω παρέθηκεν ἀείρας,
Καὶ δέπαϊ χρυσέῳ δειδίσκετο, φώνησέν τε,
Χαῖρε, πάτερ, ὦ ξεῖνε· γένοιτό τοι ἔσσω ὀπίσω
Ὄλβος, ἀταρ μὴν νῦν γε κακοῖς ἔχεαι πολέεσσι.
Τόνδ' ἀπαμφϐόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Ἀμφίνομ', ἦ μάλα μοὶ δοκέεις πεπνυμένος εἶναι·
Τοιῦτος γὰρ πατρὸς, ἐπεὶ κλέος ἐσθλὸν ἄκουον,
Νίσου Δυλιχίηα εὐῦν τ' ἔμμεν, ἀφνειόν τε·
Τῷ σ' ἔκ φασι γενέσθαι· ἐπιτῡ δ' ἀνδρὶ ἔοικας.
Τὔνεκά τοι ἐρέω· σὺ δὲ σύνθεο, καί μευ ἄκουσον·
Οὐδὲν ἀκιδνότερον Γαῖα τρέφει ἀνθρώποιο

" Qui hunc insatiabilem à mendicando
" In populo; citò enim ipsum redu-
" Ad Echetum regem, hominum pessi-
Sic dixerunt; gavisus est autem
Antinous verò ei magnum ventrem
Plenum pinguedineque & sanguine;
Et peculo aureo honoravit, com-
" Salve, pater, ò hospes, adsit tibi sa-
" Felicitas; at quidem nunc malis te-
Hunc respondens allocutus est pru-
" Amphinome, certè valdè mihi vi-
" Tam enim patre es; quoniam famam
" Nisum Dulichium probúmque esse,
" Ex hoc te dicunt natum esse; ex-
" Propter hoc tibi dico, tu verò at-
" Nihil imbecillius Terra nutrit ho-

ΣΧΟΛΙΑ.

113. Ἄναλτον.] Ἀκόρεστον. Ἀληπόνητον. Πλανᾶσθαι, ἢ μεζωτεῖν.

114. Ἀνάξομεν.] Ἀναχθήναι ποιήσομεν. Ἀνάξομεν.] Ἀπαχάγωμεν.

116. Κλεηδόνι.] Κληδόνι, φήμῃ.

117. Θῆκεν.] Παρέθηκεν.

118. Ἐμπλείῃ.] Πεπληρωμένῃ.

121. Ἔς ὦ ὀπίσω.] Εἰς τὸ μὴ πάσχειν.

122. Ἔχεαι.] Ἔχῃ, κατέχῃ.

126. Δυλιχίηα.] Τὸν ἀπὸ Δυλιχίου.

127. Ἐπιτῡ.] Δεινῷ εἶναι, ἢ λογίῳ παρὰ τὰ ἔπη.

NOTÆ.

121. Χαῖρε, πάτερ ὦ ξεῖνε· γένοιτό τοι ἔς ὦ ὀπίσω) Tutius æstimo πάτερ legere, quàm πάπερ, ut suprà, ϐ'. v. 415. Δὸς, φίλε, &c. At ἔσσω omninò, pro ὄπισθε, legendum moneo, ex *Romanâ* & *Basileensi*, *Henrico Stephano*, & *Spondano*, qui tamen ὄπισθε inter *Var. Lect.* ponunt. At *Spondanus* vertit, ὄπισθε ὀπίσω, *sicut antea*, quod & *Schrevelius* facit; cùm tamen ὀπίσω *tempus futurum* signet. *Eustathius* fol. 660. lin. 6. Χαῖρε, φησι, πάτερ ὦ ξεῖνε, γένοιτό τοι ἔσσω ὀπίσω, ἤγουν ἐσόπερον, ἐς τὸ μέλλον, ὅλβος. Qui ὄπισθε legebant, ὀπίσω exponebant per *antea*, satis ridiculè. Nè tamen *Sensus* vacillet, cui hæc *Lectio* consulit, & *Brevia Scholia* exponunt verè, εἰς τὸ μὴ πάσχειν· quare & ibi ἔσσω ὀπίσω restituendum curavi, ex *Aldinâ*, *Bedrotianâ*, *Morrhianâ*, &c. Quin idem Versus iterum occurrit, v'. v. 199. ubi in ipso *Schreveliano* Codice ἔσσω ὀπίσω, ut & in *Castellionæo* quoque, & *Oxoniensi*; quare ὄπισθε, licet *Error inveteratus*, in *Florentinâ*, *Aldinâ* & *Lovaniana*, &c. omninò tollendus.

122. Κακοῖς ἔχεαι πολέεσσι) *Odyss.* ν'. v. 200. ubi hic Versus iterum occurrit, legitur in Omnibus κακοῖς ἔχεαι πολλοῖσι. Quare alterutra Vox certè inter *Var. Lect.* reponenda.

129. Οὐδὲν ἀκιδνότερον Γαῖα τρέφει ἀνθρώπου) *Simonides*, Ἀνθρώπων ὀλιγὴν μὲ κάρτος· ἀπρακτεῖ γὰρ μεληδόνες· αἰῶνι δ' πάντα πόνῳ ἀμφὶ πόνῳ· ὁ δ' ἄφυκτος ὅμως ἐπικρέμαται θάνατος· κείνῳ δ' ἴσον λάχον μίρῃ οἵ τ' ἀγαθοὶ, ὅστις τε κακός. Simile illud *Iliad.*

VARIÆ LECTIONES.

116. Θεῖος) γρ. δῖος, ut *Odyss.* θ'. v. 539. &c.

117. Παρὲθ') γρ. ἐπὶ, *H. Steph.* Ibid. Γαστέρα θῆκεν) γρ. γαστέρ' ἴθηκεν.

121. Πατὴρ ὦ ξεῖνε) γρ. πάπερ ὦ ξεῖνε, vid. Not. in *Textum*. Ibid. Ἔσσω) γρ. ὄπισθε, vid. ut modò.

122. Πολέεσσι) γρ. πολλοῖσι, vid. Not. in *Textum*.

129. Οὐδὲν) γρ. ὐθὲν, *Zenodot.* apud *Eustath.* fol. 661. lin. 36.

Πάντων, ὅσσα τε γαῖαν ἐπὶ πνείῃ τε ἠδ' ἕρπῃ.
Οὐ μὲν γάρ ποτε φησὶ κακὸν πείσεσθαι ὀπίσσω,
Ὄφρ' ἀρετὴν παρέχωσι θεοὶ, καὶ γοῦνα κορῶσι·
Ἀλλ' ὅτε δὴ καὶ λυγρὰ θεοὶ μάκαρες τελέσωσι,
Καὶ τὰ φέρῃ ἀεκαζόμενος τετληότι θυμῷ.
Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων,
Οἷον ἐπ' ἦμαρ ἄγησι πατὴρ ἀνδρῶν τε θεῶν τε.
Καὶ γὰρ ἐγὼ ποθ' ἔμελλον ἐν ἀνδράσιν ὄλβιος εἶναι,
Πολλὰ δ' ἀτάσθαλ' ἔρεξα, βίῃ καὶ κάρτεϊ εἴκων,
Πατρί τ' ἐμῷ πίσυνος, καὶ ἐμοῖσι κασιγνήτοισι.
Τῷ μή τίς τοι πάμπαν ἀνὴρ ἀθεμίστιος εἴη,
Ἀλλ' ὅγε σιγῇ δῶρα θεῶν ἔχοι, ὅ, τι διδοῖεν.
Οἶ' ὁρόω, μνηστῆρας ἀτάσθαλα μηχανόωντας,
Κτήματα κείροντας, καὶ ἀπημάξοντας ἄκοιτιν
Ἀνδρὸς, ὃν οὐκ ἔπι φημὶ φίλων καὶ πατρίδος αἴης
Δηρὸν ἀπεσσεῦξ· μάλα δὴ σχεδόν· ἀλλά σε δαίμων

" Omnium, quæcunque super terram spirant & serpunt.
" Non quidem enim unquam putat malum passurũ esse se in futurum,
" Quoufque copiam præbeant Dei, & genua moveantur;
" Sed quandò jam & adversa Dei beati perficiant,
" Et hæc suffert nolens reluctanti animo.
" Talis enim mens est mortalium hominum,
" Qualem diem, i.e. Vitæ conditionem, inducit pater virúmque deúmque.
" Etenim ego quondam videbar inter viros beatus esse;
" Multa autem injusta feci, vi & robore impotens,
" Patri meo fretus, & meis fratribus.
" Quare nequis omninò vir injustus esto;
" Sed hic silentio dona Deorum habeat, quodcunque dent.
" Qualia video procos injusta perpetrantes,
" Facultates accidentes, & dedecorantes uxorem
" Viri, quem non ampliùs dico ab amicis & patriâ terrâ
" Diù abfore: valdè nimirùm propè est. Verùm te Deus

Σ Χ Ο Λ Ι Α.

131. Πείσεσθ.] Ὑπομενῶ.

132. Ὄφρ' ἀρετὴν παρέχωσι.] Νῦν τοῖς ἀγαθοῖς παρέχωσιν εὐδαιμονίαν· ὁμοίως τὸ, ἀρετῶσι ὁ λαός.

133. Τελέσωσι.] Ποιῆσιν, ἐπιφέρωσιν.

134. Φέρῃ.] Ὑποφέρῃ. Ἀσκαζόμενος.] Μὴ θέλων.

135. Τοῖος γὰρ νόος ἐστὶν.] Οἱ μὲν φιλόστοφοι ἐνδέχονται, ὅτι οἷον ἐν ᾗ τὸ καθέκημα ἔχει, τοιαύτην τὴν ἡμέραν ἄγει τοὺς ἀνθρώπους· οἱ δὲ ἁπλῶς, ὅτι ποιητὴς λέγει, ἀπορία ἂν ᾖ τὰ τοιαῦτα, τούτοις ἐξομολογούμεθα.

137. Ἔμελλον.] Ἐόκεσα, ὑπολαμβάνων.

142. Μηχανόωντας.] Ἐπινοοῦντας.

145. Ἀπέσσεύξ.] Ἀπέστησε.

Ν Ο Τ Æ.

ρ'. v. 446. Οὐ μὲν γάρ τί πω ἔστιν οἰζυρώτερον ἀνδρός. *Meric. Casaubon.* de Nuperâ *Homeri* Editione, §. 2. p. 71. super hoc loco *Homerico* disputans, confert cum illo, & opponit ex parte Dei, locum *Euripidis*, Supplic. à v. 196. ad v. 218. Vid. *Plutarch.* in Consolatorio, ad *Apollonium*; *Duport.* Gnomolog. in hunc locum; & quæ Nos ad Prælect. *Pindaric.* XXV.

130. Γαῖαν ἐπὶ πνείῃ τε ἠδ' ἕρπῃ) Ità pro ἐπιπνείῃ lego; ut τὸ ἐπὶ sic æquè referri possit ad πνείῃ, & ἕρπῃ, vel etiam ad τὸ γαῖαν.

132. Ὄφρ' ἀρετὴν παρέχωσι θεοὶ, καὶ γοῦνα κορῶσι) Posteriora sunt Priorum ἐξηγητικά. Ἀρετὴ enim hìc εὐδαιμονίαν, εὐτυχίαν, & successum denotat, ut Θ'. v. 329. Οὐκ ἀρετῇ κακὰ ἔργα. Confer *Br. Schol. Ibid.* Γόνατ' ὀρώρῃ) Hinc illud *Theocriti*, —οἷς γόνυ χλωρόν.

135. Τοῖος γὰρ νόος ἐστὶν) Hunc locum egregiè quoque tractat idem *Meric. Casaubon.* ibid. p. 84. *Archilochi* verò locum, ex hoc *Homeri* delineatum, liceat nobis correctiùs proferre. Τοῖος ἀνθρώποισι νόος, οἷ' Γλαῦκε, πατὴρ Λεπτίνεω, Γίγνες, ἐπιτροπεύει ἀκοίλου Ζεὺς ἐπ' ἠμείρῳ ἄγκει. Quòd ἐπ' ante *Asperum* lego, id prudens ac sciens facio, quòd *Ionum* hoc fit; simile & illud *Simonidæ*, apud *Stobæum*, ἐν τῷ, Περὶ δὲ βίᾳ, ὅτι βραχὺς ἐν σύτιλης, &c. Νάος οἳ' ἐπ' ἀνθρώποισιν οὐκ ἐφημίζεται· Ἐσ', ἀλλ' ἐφήμεροι βεβῶτες ἐν ζόφῳ, Ὅπως ἐκάστην ἀπιλούτησιν Θεός· Πρὸς τὰς τύχας γὰρ τὰς φρένας κεκλήμεθα. Vid. *Duport.* in locum & *Plutarch.* Vitâ *Homeri*, §. XIX.

136. Πατὴρ ἀνδρῶν τε θεῶν τε) Sic *Aratus*, sub initio, — ἐκ γὰρ Διὸς ἀρχώμεσθα· *Virgilius*, — Divûm Pater atque Hominum Rex. *Homero* propius, *Hominum Pater atque Deorum*. Vid. *Duport.* in locum.

145. Μάλα δὴ σχεδόν) Vel hinc elucet *Ulyssis* insignis Clementia; quâ vult *Amphinomum*, de quo aliàs Poeta, π'. v. 398. — φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσι, cavere sibi temporius; adeò ut tantùm se non prodit illi. At Mali homines oculos suos monitori-

Ν Α Ι Æ Lectiones.

130. Ἐπὶ πνείῃ) γρ. ἐπιπνείῃ, vid. N. ad *Textum*.

145. Δὴ) γρ. ἦ, at τὸ δὴ præstat: vid. N. in *Textum*.

Οἴκαδ'

Οἶκαδ' ὑπεξαγάγοι, μήδ' ἀντάσειας ἐκείνῳ,
Ὁππότε νοστήσειε φίλην ἐς πατρίδα γαῖαν·
Οὐ γὰρ ἀναιμωλεί γε διακριθείεσθαι οἴω
Μνηστῆρας, κἀκεῖνον, ἐπεί κε μέλαθρον ὑπέλθοι.
"Ως φάτο· κὴ σπείσας ἔπιεν μελιηδέα οἶνον·
Ἂψ δ' ὃν χερσὶν ἔθηκε δέπας κοσμήτορι λαῶν.
Αὐτὰρ ὁ βῆ κατὰ δῶμα, φίλον τετιημένος ἦτορ,
Νθυσάζων κεφαλῇ· δὴ γὰρ κακὸν ὄσσετο θυμῷ.
Ἀλλ' οὐδ' ὡς φύγε κῆρα· πεδῆσε δὲ κὴ τὸ Ἀθήνη,
Τηλεμάχῳ ὑπὸ χερσὶ κὴ ἔγχεϊ ἶφι δαμῆναι·
Ἂψ δ' αὖτις καθ' ἕδρη ἕζετ' ἐπὶ θρόνου, ἔνθεν ἀνέστη.
Τῇ δ' ἄρ' ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη
Κούρη Ἰκαρίοιο, περίφρονι Πηνελοπείῃ,
Μνηστῆρσι φανῆναι, ὅπως πεφίσοιτο μάλιστα
Θυμὸν μνηστήρων, ἰδὲ πλείονα γένοιτο
Μᾶλλον τοῦ πόσιός τε, κὴ υἱέος, ἢ πάρος ἦεν.
Ἀχρεῖον δ' ἐγέλασσεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν,

" Domum ſubducat, nè obvies illi,
" Quandò redibit dilectam in patriam terram:
" Non enim ſine cruore dijudicatum iri puto
" Procos *inter*, & illum; poſtquam in ædes venerit.
Sic dixit, & libans bibit dulce vinum;
Iterum verò in manibus poſuit poculum duci populorum.
At hic ivit per domum, dilectum cruciatus cor,
Conquaſſans caput; jam enim malum augurabatur animus.
Sed neque ſic fugit mortem: impedivit enim & hunc Minerva,
Telemachi ut manibus & haſtâ fortitèr interficeretur;
Rurſus verò iterum ſedit in ſede, unde ſurrexerat.
Huic verò in mentibus poſuit dea cæſia Minerva
Filiæ *nempè* Icarii, prudenti Penelopæ,
Procis apparere, ut diffunderet maximè
Animum procorum, & honorata fieret
Magis à viroque & filio, quàm antea erat.
Leviter igitur riſit, verbúmque dixit
denominavitque,

ΣΧΟΛΙΑ.

146. Ἀνταστήσας.] Συναστήσας.
148. *Ἀναμωλεί.] Ἀνὰ αἷμα δηλοῖ.
159. Πεφίσοιτο.] Ἐκπλήξειεν· οὐκ ἀλαζονικῶς ἢ ἀφέσεσιν ἡ Πηνελόπη, ἀλλ' ὅπως μὴ βιασθῇ, σκοποῦσα μήν, καὶ ἐλπιδοποιοῦσα τῷ δοκεῖν περὶ σωφροσύνης.
160. Τιμήσασα.] Τιμιωτέραν.
162. Ἀχρεῖον.] Οἷον, οὐκ ἐπ' ἀγαθῷ.

NOTÆ.

bus claudunt; quare in caſſes tandem incidunt, & hoc Dei judicium agnoſcitur mox. v. 154.—πέδησε δὲ κὴ τὸ Ἀθήνη. Τὸ δὲ autem, quod priùs obtinuit, ad *Var. Lect.* relego, & δὴ in *Textum* admitto, ut magis huic loco congruum.

149. Ὑπίλθοι) Ità Editt. *Romana* & *Baſileenſis*, & ipſe *Euſtathius* in παρεκβολαῖς, quæ vox aptè clandeſtinum *Ulyſſis* adventum ſignificat; quare alteram *Lectionem*, ἐπίλθῃ, poſthabendam duco, licet *Florentina* præferat. *Aldina*, *Lovaniana Reſcii*, *Stephan. Caſtell.* Rectè *Oxon.* ὑπίλθοι.

152. Καθ' δῶμα) Rectè; quoniam *Amphinomus* nunc reliquerat *Ulyſſem* ad limen, ipſe in Domum deſcendens; quod qui non viderunt, ἀφ' legendum putabant, minùs congruè.

162. Ἀχρεῖον δ' ἐγέλασσεν) *Euſtath.* fol. 663. lin. 46. Τὸ δὲ ἀχρεῖον ἐγέλασσεν, ἀντὶ τοῦ, ἄκαιρον, ἐς ἀσὰς ἀδημίαν χρείαν. Ἀτέχνως δέ, φασι, τῷ λέξει παύτῃ ἀσυμπροξύνουσι, ἄχρειον λέγοντες, &c. Vid. *Etymolog.* M. v. Ἀχρεῖος, & v. Ἀχρεῖον. Hinc ἀχρειόγελως ἄνθρωπος, *Michael Apoſtolius* Proverb. Centur. V. vid. *Suidam*, v. Ἀχρειόγελως ἄνθρωπος. Proverbium, Γέλως ἄκαιρος, δεινὸν οὐ βροτοῖς κακόν. Nam Riſu inepto res ineptior nulla, ut *Catullus*. *Theocrit.* Idyll. 25. v. 72. Ἀχρεῖον κλάζοντα, de Canibus blandientibus. De *Therſite*, *Iliad.* β'. v. 269. Ἀχρεῖος ἰδών. Hoc verò in loco, ἀχρεῖον γελᾶν, eſt *Leviter ſubridere*, non quaſi ex animo.

NOTÆ IN SCHOLIA.

148. *Ἀναμωλεί) Hæc ex *Aloyſii Alemanni* MSto.

VARIÆ LECTIONES.

148. Ἀναμωλεί) γρ. ἀναμωλί.
149. Ὑπίλθοι) γρ. ἐπίλθῃ, *Florentin. Aldin.* &c. ut in Not. ad *Textum*.
152. Καθ' δῶμα) γρ. ἀφ', *H. Steph.* vid. N. in *Textum*.
153. Θυμῷ) γρ. θυμὸς, *H. Steph.*
160. Ἴδε) γρ. ἑ, pro ὸ melius.
162. Ἀχρεῖον) γρ. ἄχρειον, *Atticè*, vid. Not. in *Textum*.

Εὐρυνόμη, θυμός μοι ἐέλδεται, οὔπω πάρος γε,
Μνηστῆρσι φανῆναι, ἀπεχθομένοισι περ ἔμπης·
Παιδὶ δὲ καὶ εἴποιμι ἔπος, τό κε κέρδιον εἴη,
Μὴ πάντα μνηστῆρσιν ὑπερφιάλοισιν ὁμιλεῖν,
Οἵ τ' εὖ μὲν βάζουσι, κακὰ δ' ὄπιθεν φρονέουσιν.
Τὴν δ' αὖτ' Εὐρυνόμη ταμίη τοιὸς μῦθον ἔειπεν,
Ναὶ δὴ ταῦτά γε πάντα, τέκος, κατὰ μοῖραν ἔειπες.
Ἀλλ' ἴθι, καὶ σὺ παιδὶ ἔπος φάο, μήδ' ἐπίκλυθε,
Χρῖσαι δ' ὑπερφιάλῳ, καὶ ὑπόσχεσιν παρειάς.
Μήδ' ἄτῳ δακρύοισι πεφυρμένη ἀμφὶ πρόσωπα
Ἔρχευ· ἐπεὶ κάκιον πενθήμονα ἄκριτον αἰέν·
Ἤδη μὲν γάρ τι παῖς τηλίκος, ὃν σὺ μάλιστα
Ἠρῶ Ἀθανάτοισι γενείσασθαι ἰδέσθαι.
Τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια,
Εὐρυνόμη, μὴ τοῦτα παραύδα, κηδομένῃ περ,
Χρῶτ' ὑπανίπτεσθαι, καὶ ἐπιχρίεσθαι ἀλοιφῇ·
Ἀγλαΐην γὰρ ἔμοιγε θεοὶ τοὶ Ὄλυμπον ἔχουσιν,
Ὤλεσαν, ἐξ ἧς κεῖνος ἔβη κοίλῃς ὑὶ νηυσίν.
Ἀλλά μοι Αὐτονόῳ τε, καὶ Ἱπποδάμειαν, ἄνωχθι
Ἐλθέμεν, ὄφρα κέ μοι παρὰ πέλσιν ὑὶ μεγάροισιν·
Οἴη δ' οὐκ εἶσειμι μετ' ἀνέρας· αἰδέομαι γάρ.
Ὣς ἄρ' ἔφη· γρηὺς δὲ δι' ὤτων βεβήκει,
Ἀγγελέουσα γυναιξὶ, καὶ ὀτρυνέουσα νέεσθαι.
Ἔνθ' αὖτ' ἄλλ' ὑνόησε θεὰ γλαυκῶπις Ἀθήνη·
Κώρῃ Ἰκαρίοιο κατὰ γλυκὺν ὕπνον ἔχευεν.

" Eurynome, animus mihi cupit, non antea quidem, *at nunc omnino*
" Procis apparere, invitis quantumvis;
" Filio etiam fors dicam verbum, quod perutile erit,
" Non usqueadeo procis cum superbis conversari,
" Qui benè quidem dicunt, malè autem pòst cogitant.
Huic rursus Eurynome promaconda verbum dixit,
" Næ jam hæc omnia, filia, ut par est, dixisti.
" Sed vade, & tuo filio verbum dic, neque occulta,
" Corpore priùs lavato & unctis genis.
" Neque sic lacrymis irrigata circum faciem
" Vade; quoniam malum *est* lugere continuè semper.
" Jam quidem enim tibi filius talis, qualem tu maximè
" Supplicabas Diis barbescentem videre.
Hanc rursus alloquuta est prudens Penelope,
" Eurynome, nè hæc suadeas, *me*-curans licet,
" Corpusque lavare, & ungere unguento:
" Pulchritudinem enim mihi Dii, qui Olympum habitant,
" Perdidernnt, ex quo ille ivit concavis in navibus:
" Sed mihi Autonoemque, & Hippodamiam, jube
" Venire, ut mihi astent in domibus;
" Nam sola non accedam ad viros; verecundiâ enim ducor.
Sic dixit; vetula igitur è domo exivit
Nunciatura mulieribus, & impulsura ad eundum.
Tunc demùm aliud cogitavit Dea cæsia Minerva:
Filiæ Icarii dulcem somnum affudit.

Σ Χ Ο Λ Ι Α.

167. Φρονέουσι.] Βουλεύουσι.
173. Πενθήμονα.] Πενθοῦν, θρηνεῖν. Ἄκριτον.] Ἀδιακρίτως· ἢ πολὺ, ἀδιακρίτως.
175. Ἠρῶ.] Ηὔχου.
178. Ἀλοιφῇ.] Ἐλαίῳ.
179. Ἀγλαΐην.] Τὸ καλλος.
185. Ἀγγελέουσα.] Λέξουσα.

N O T Æ.

165. Παιδὶ δὲ καὶ εἴποιμι) Olim κὲν erat, & potuit quidem per *Metrum* stare, nempè producebatur, in *Cæsurâ*, & ob *Finalem* ἀναπλώσεως capacem. At καὶ omninò hìc præstat legere; nam proposuit sibi Regina, Filium suum, si fors obtigerit, à Procorum consortio deterrere; at hoc non fecit, quare καὶ magis huic loco congrua *Lectio*; aliàs etiam bis eadem Vox in eodem versu occurreret; ut olim etiam *Iliad.* ε'. v. 273.

182. Παρσήσειν) *Etymolog.* M. v. Ἠλιος. Ὥσπερ ἐπὶ τὸ φῆσον, μέλλ. τὸ παρῶ, παράσῃσιν, ἡ συγκοπῇ, ἡ πλεονασμῷ τοῦ σ', παρήσειν.

V A R I Æ L E C T I O N E S.

165. Καὶν) γρ. κὲν, vid. Not. in *Textum*.
169. Ἔειπες) γρ. ἔεσπας.
182. Ὄφρα κέ μοι) γρ. ὄφρ' ἂν ἐμοὶ, *H. Steph.*
183. Οὐκ εἶσειμι) γρ. ἃ κεῖσ' εἶμι, *H. Steph.*

Εὐδὰ

Εὗδε δ' ἀνακλιθεῖσα· λύθεν δέ οἱ ἅψεα πάντα
Αὐτῷ σὺν κλιντῆϊ· τέως δ' ἄρα δῖα θεάων
Ἀμβροτα δῶρα δίδη, ἵνα μὲν θηήσαιτ' Ἀχαιοί·
Κάλλεϊ μὲν οἱ πρῶτα πρόσωπά τε καλὰ κάθηρεν
Ἀμβροσίῳ, οἵῳ πὲρ ἐϋστέφανος Κυθέρεια
Χείθ, εὖτ' ἂν ἴῃ Χαρίτων χορὸν ἱμερόεντα.
Καί μιν μακροτέρην τε πάσσονά θ' ἧκεν ἰδέσθαι.
Λευκοτέρην δ' ἄρα μὶν θῆκεν πριστῷ ἐλέφαντι·
Ἣ μὲν ἄρ' ὡς ἔρξασ' ἀπεβήσατο δῖα θεάων.
Ἦλθον δ' ἀμφίπολοι λευκώλενοι ἐκ μεγάροιο,
Φθόγγῳ ἐπερχόμεναι· τὼ δ' γλυκὺς ὕπνος ἀνῆκε,
Καί ῥ' ἀπομόρξατο χερσὶ παρειὰς, φώνησέν τε,
Ἦ με μάλ' αἰνοπαθῆ μαλακὸν περὶ κῶμ' ἐκάλυψεν·
Αἴθε μοὶ ὡς μαλακὸν θάνατον πόροι Ἄρτεμις ἁγνὴ
Αὐτίκα νῦν, ἵνα μηκέτ' ὀδυρομένη κατὰ θυμὸν
Αἰῶνα φθινύθω, πόσιν ποθέουσα φίλοιο
Παντοίων ἀρετῶν· ἐπεὶ ἔξοχον ἦεν Ἀχαιῶν.
Ὡς φαμένη, κατέβαιν' ὑψόρροα σιγαλόεντα,
Οὐκ οἴη· ἅμα τῇγε καὶ ἀμφίπολοι δύ' ἕποντο.
Ἣ δ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
Στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
Ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα·
Ἀμφίπολος δ' ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέστη.

Dormivit ergò reclinata: & soluta sunt ei membra omnia
Illic in lecto; tunc igitur præstans dearum
Immortalia dona dedit; ut ipsam admirarentur Achivi, *Proci.*
Unguento quidem ei vultusque pulchros purgavit
Immortali, quali benè-coronata Venus
Ungitur, quando adit Gratiarum chorum amabilem.
Et ipsam proceriorem & succulentiorem fecit videri;
Candidioremque ipsam fecit secto elephante:
Hoc quidem sic facto abivit præstans dearum.
Venerunt igitur famulæ albis-ulnis ex domo,
Cum strepitu advenientes; hanc autem dulcis somnus dimisit;
Et abstersit manibus genas, & locuta est,
" Certe me ærumnosam mollis somnus cooperuit:
" Utinam mihi sic mollem decessum daret Diana casta
" Quamprimùm; ut nè amplius lugens animo
" In longum tempus macerarer, mariti desiderans dilecti
" Perfectam virtutem; quoniam eximius erat inter Achivos.
Sic loquuta, descendit ex cœnaculis splendidis,
Non sola, simul hanc & famulæ duæ sequebantur.
At quando jam ad procos pervenit diva mulierum,
Stetit utique in limine domûs ornatè factæ,
Ante genas habens nitida vela;
Famulaque ei prudens utrinque astitit.

Σ X O Λ I A.

189. Κλιντῆει.] Τῇ κλίνῃ.
191. Κάλλει.] Νῦν, τὸ μέσον * αἰνίττει. Κάλλ. γρ. τὸ τ' Ἀφροδίτης μέρος. Κάθηρεν.] Ἔχει σαν, ἤλειψεν.
192. Κυθέρεια.] Ἡ Ἀφροδίτη.
194. Πάσσονα.] Παχυτέραν.
198. Φθόγγῳ ἐπερχόμεναι.] Μετὰ φωνῆς ἐπιοῦσαι.
200. Αἰνοπαθῆ.] Δεινοπαθῆ. Κῶμα.] Ὕπνον.
203. Φθινύθω.] Φθινέω.

N O T Æ.

190. Ἀχαιοὶ) Νῦν, ἀντὶ Σ, μνηστῆρες, ut suprà, v. 93.
191. Κάλλει) *Hesych.* Κάλλος) Τὸ τ' Ἀφροδίτης μέρος.
195. Πριστῷ ἐλέφαντι) Vid. *Plinii* Nat. Histor. l. 8. c. 10. & l. 16. c. 43. *Virgil.* Æn. l. 3. v. 464. *Sectoque Elephanto.*

NOTÆ IN SCHOLIA.

191. * Αἰνίττει· κάλλος γρ. τὸ τ' Ἀφροδίτης μέρος. Vocem αἰνίττει addo, ad *Syntaxeos* supplementum; aliàs enim τῆς μέρους esset. Cætera ex *Hesychio*, qui habet, Κάλλη) Τὸ μέρος τ' Ἀφροδίτης, ipsum hunc locum respiciens. *Etymolog.* M. v. Κάλλος. Τὸ δὲ κατὰ Σ μέρος τ' Ἀφροδίτης.

VARIÆ LECTIONES.

191. Μὶν) γρ. μιν. 193. Εὖτ' ἂν ἴῃ) γρ. εὖτ' ἀΐῃ. *Ibid.* Ἱμερόεντα) γρ. εἰς ἐρόεντα.

Τῶν

Τῶν δ' αὐτῷ λύτο γύαλ', ἔρῳ δ' ἅρα θυμὸν ἔθελχθεν·
Πάντες δ' ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι·
Ἦδ' αὖ Τηλέμαχον προσεφώνεεν ὃν φίλον υἱὸν,
Τηλέμαχ', οὐκέτι τοι φρένες ἔμπεδοι, οὐδὲ νόημα·
Παῖς ἔτ' ἐὼν, ἢ μᾶλλον ἐνὶ φρεσὶ κέρδε' ὑφήνας·
Νῦν δ', ὅτε δὴ μέγας ἐσσι, καὶ ἥβης μέτρον ἱκάνεις,
Καί κέν τις φαίη, γόνον ἔμμεναι ὀλβίου ἀνδρὸς,
Ἐς μέγεθος καὶ κάλλος ὁρώμενος, ἀλλότριος φώς,
Οὐκέτι τοι φρένες εἰσὶν ἐναίσιμοι, οὐδὲ νόημα.
Οἷον δὴ τόδε ἔργον ἐνὶ μεγάροισιν ἐτύχθη,
Ὅς τ' ξεῖνον ἔασας ἀεικιοθήμεναι ὕτω·
Πῶς νυῦ; εἴπις ξεῖνος, ὃν ἡμετέροισι δόμοισιν
Ἥμενος, ὧδε πάθοι ῥυσαλίφ ἐξ ἀλεγεινῆς,
Σοί κ' αἶσχος, λώβη τε, μετ' ἀνθρώποισι πέλοιο.
Τιὼδ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Μῆτερ ἐμὴ, τὸ μὲν οὔ σε νεμεσσῶμαι κεχολῶσθαι·
Αὐτὰρ ἐγὼ θυμῷ νοέω καὶ οἶδα ἕκαστα,
Ἐσθλά τε, καὶ τὰ χέρηα· πάρος δ' ἔπι νήπιος ἦα.
Ἀλλά τοι ὑ δυσμαὶ πεπνυμένα πάντα νοῆσαι·
Ἐκ γάρ με πλήσουσι, παρήμενοι ἄλλοθεν ἄλλος,
Οἵδε κακὰ φρονέοντες· ἐμοὶ δ' ὀκ εἰσὶν ἀρωγοί.
Οὐ μέν τοι ξείνῳ γε καὶ Ἴρῳ μῶλος ἐτύχθη
Μνηστήρων ἰότητι· βίη δ' ὅγε φέρτερος ἦεν.
Αἲ γὰρ, Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον,
Οὕτω νῦν μνηστῆρες ὑπ' ἠμετέροισι δόμοισι

Horũ verò illic ſolvebantur genua, & præ amore animos delinìebantur;
Omneſque optārunt *apud eam* in lectis dormire.
Hæc demùm Telemachum alloquuta eſt ſuum charum filium,
" Telemache, non ampliùs tibi mentes firmæ, neque cogitatio:
" Puer adhuc cum eſſes, & magis in mente ſolertiam verſabas:
" Nunc autem, quando jam magnus es, & pubertatis *ad* limitē perveniſti,
" Et aliquis diceret filium te eſſe beati viri,
" Magnitudinem & pulchritudinem videns, alienus vir,
" Non ampliùs tibi mens eſt competens, neque cogitatio.
" Quale utique jam hoc facinus in ædibus factum eſt,
" Qui hoſpitem ſiviſti indecentèr tractari eo modo.
" Quomodo ergò? Si quis hoſpes in noſtris ædibus
" Sedens, ſic pateretur ex vexatione moleſtâ,
" Tibi dedecus, & contumelia, inter homines fuerit.
Hanc ergò Telemachus prudens contrà alloquutus eſt,
" Mater mea, hâc quidem *in re* non te accuſo, *quòd* iraſceris:
" At ego animo intelligo & ſcio ſingula,
" Bonaque, & pejora; antea tamen adhuc infans eram,
" Sed non poſſum prudentia omnia intelligere;
" Nam me perterrent aſſidentes aliunde alius,
" Hi quidem mala cogitantes; mihi autem non adſunt auxiliatores.
" Non tamen hoſpitis & Iri pugna facta eſt
" Procorum conſilio; fortitudine nihilominùs hic potentior fuit.
" Utinam enim, Jupiterque pater, & Minerva, & Apollo,
" Sic nunc proci in noſtris domibus,

Σ Χ Ο Λ Ι Α.

211. Ἔρῳ.] Ἐρωῖ. Ἐθελχθεν.] Ἠλοιώθησαν.
215. Κέρδε'.] Σωίσεις. Ἐνώμας.] Ἐκίνεις, ἀντὶ τοῦ, σείοντες.
216. Ἥβης μέτρον.] Τὸ ἀκμαῖον τῆς ἡλικίας.
221. Ἀεικιοθήμεναι.] Αἰκιοθῆναι, ὑβριοθῆναι.
223. Ῥυσαλίφ.] Ἑλκυσμοῦ, αἰκίας.
224. Πέλοιτο.] Ἔσαι.
231. Ἀρωγοί.] Βοηθοί.

N O T Æ.

211. Ἔρῳ) Ὁ ἔρως, ἀντὶ τοῦ ἔρως, ἔρωτος· ὡς, Αὐτὰρ ἐπὶ πόσι τοῦ ἐδητύος ἐξ ἔρον ἔντο. Vid. quæ Nos ad *Euripid.* Hippolyt. v. 449. & ad *Anacreon.* v. 809. & 1182.

228. Ἐσθλά τε καὶ τὰ χέρηα) Idem Verſus infrà, ad υ'. v. 310. ubi tamen χέρεια. At alia etiam Lectio *Euſtathio* defenditur.

235. Ἡμετέροισι δόμοισι) γρ. ὑμετέροισι. Suo ita-

V A R I Æ L E C T I O N E S.

211. Τῶνδ' αὐτῷ λύτο γύαλ') γρ. τῶν δ' αὖ λῦτο τὰ γύατ', *Mar. Meibomius*, ut ad δ'. v. 703. & intrà, v. 237. *Ibid.* Ἔρῳ δ' ἅρα θυμὸν ἔθελχθεν) γρ. ἔρως δ' ἅρα θυμὸν ἔθελγεν, *Plutarch.* Vitâ *Homeri.*
221. Ἔασας) γρ. ἴασας.
228. Χέρηα) γρ. χέρεια. Δ' ἔπι) γρ. δ' ἔτι, *H. Steph.*
235. Ἡμετέροισι) γρ. ὑμετέροισι, malè; ut Not. in *Textum.*

Νόῖοιο

Νδύοιεν κεφαλὰς δεδμημένοι, οἱ μὲν ἐν αὐλῇ,
Οἱ δ' ἔντοσθε δόμοιο, λέλυτο δὲ γυῖα ἑκάστου·
Ὡς νῦν Ἰθάκῃ ἐνὶ πᾶσι μύθοισιν
Ἧστο νθιζάζων κεφαλῇ, μεθύοντι ἐοικώς,
Οὔτ' ὀρθὸς δύνατο στῆναι ποσὶν, οὔτε νέεσθαι
Οἶκόνδ', ὅπη οἱ νόος· ἐπεὶ φίλα γυῖα λέλυντο.
Ὡς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
Εὐρύμαχος δ' ἐπέεσσι προσηύδα Πηνελόπειαν,
Κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια,
Εἰ πάντες σὲ ἴδοιεν ἐν Ἰάσου Ἄργει Ἀχαιοὶ,
Πλείονές κεν μνηστῆρες ἐν ὑμετέροισι δόμοισιν
Ἠῶθεν δαινύατ'· ἐπεὶ περὶ σοὶ γυναικῶν,

" Inclinarent capita domiti; hi quidem in vestibulo,
" Hi autem intra domum, solutaque essent membra uniuscujusque;
" Sicut nunc Irus ille ad vestibulares januas
" Sedet nutans capite, ebrio similis,
" Neque rectus potest stare pedibus, neque reverti
" Domum, quò ei reditus erat; quoniam dilecta membra soluta sunt.
Sic hi quidem talia inter se loquebantur:
Eurymachus autem verbis alloquutus est Penelopen,
" Filia Icarii, prudens Penelope,
" Si omnes te viderent per Jasium Argos Achivi,
" Plures proci in vestris domibus
" Manè convivarentur; quoniam præstas mulieribus,

Σ Χ Ο Λ Ι Α.

245. Ἴασον Ἄργος.] Ἴασος, βασιλεὺς Πελοποννήσου. Ἄργος δὲ νῦν, τὴν Πελοπόννησον φησὶν ἢ ἐξ ὅλου τὴν Ἑλλάδα διὰ τὸ μεσαιζάτην λέγειν. 247. Δαινύατο.] Εὐωχοῦντο. Περίεισι.] Ὑπερβάλλει.

N O T Æ.

que in Codice *Isaac. Casaubon.* scribit, *Lege ὑμετέροισι. ut in aliis.* Id verò ego prohibeo; in omnibus enim omninò *Exemplaribus*, hoc certè in loco, ἡμετέροισι scribitur, & rectè; quùm *Telemachus* de suâ Domo nunc loquatur: vid. ad v. 246. ubi alia quidem res est: rectè enim ibi ὑμετέροισι.

237. *Λέλυντο) γρ. λέλυντο*, inquit idem *Isaac. Casaubonus*, ut mox, v. 241. λέλυνται, & aliàs, ἀπαρέμφατα λέλυνται, & *Seberus* Lectionem illam agnoscit. Verùm *Penultimam* & λέλυται *Meibomius* satis longam putat, & id satis in λῦτο apparere, *Iliad. α'.* v. 1. licet Nos aliud in eum locum ostendamus, λῦτο, nempè, pro λύοντο, poni, non pro λέλυντο, cujus *Penultima* novies apud *Homerum* corripitur, ut ad *Odyss. δ'.* v. 703. & ι'. v. 421. Rectius itaque, licet dubitantèr, *Eustath.* fol. 667. lin. 4. Τὸ δὲ, Λέλυτο, ταυτόν ἐστι τῷ λυθεῖσα· ὁρισικὸν μὲν ὂν, τιθὲν δὲ, ἀντὶ εὐκλικῶς· ἴσως δὲ καὶ ἀπὸ τοῦ λελύσατο, συγκόπτων, & sic congruit cum τῷ νεύοισι κεφαλαῖς quòd præcesserat. *Etymolog.* M. Λελῦτο) Παρατατικὸς, τὸ εὐκλικόν. Vid. infrà, ad v. 247.

246. Πλείονές κεν μνηστῆρες ἐν ὑμετέροισι δόμοισι) Vel πλείονες hìc habendum pro *Amphimacro*, ut δ'. v. 485. Ταῦτα μὲ δὴ ἔτι πλέω, γίγνεσθαι, ὡς σὺ κελεύεις. Vel certè, quamvis scribatur τρισυλλάβως, in *Scansione* legendum πλείες, δισυλλάβως, de quâ re moneo, ad ε'. v. 266. & 368. Vel denique πλέονες legendum; ut sit *Anapæstus* in *Primâ* sede, quod fieri sæpè solere probo, ad β'. v. 289. *Isaac. Casaubon.* πλέονες legit. *Ibid.* Ὑμετέροισι) *Henricus Stephanus*, cui ex præcedenti, v. 235. inopinatò obortus error, & hìc ἡμετέροισι scripsit, quem sequuntur *Spondanus, Elzevir. Oxon.* &c. At minimè credendum, *Eurymachum* eò audaciæ perveniſſe, ut *Telemachi* & *Penelopæ* ædes coràm ipsis vocaret suas. Et sanè ὑμετέροισι legit hìc *Florentina, Aldina, Lovaniana Rescii, Hervagiana, Romana* & *Basileensis Eustathii, Castellionea*, &c. neque ullus dubito, quin *Isaac. Casaubon.* hunc Versum præ oculis haberet, quùm ἡμετέροισι legendum suaderet, ad v. 235. ut facile in similibus locis vicinis decipimur. Præterea omnes Versiones, *vestris* hìc habent, & *nostris* illic, satis rectè.

247. Ἠῶθεν δαινύατο) Ut *Iliad. ω'.* v. 665. ubi *Media* Syllaba δ' δαιτὸς producitur, quià ponitur, pro δαιτύος, teste *Eustathio*, fol. 1511. lin. 37. Εἰ δὲ ἀπὸ τοῦ ἐπαῦθα τὸ δαινυτο, συγκοπὴν ἴσως ἐν δ' δαινύοιτο· ἵνα ὁμοιογκλίτως εἴη, βαρύνεται, δαινύοιτο τὸ λαός. Ità hìc δαινύατ', *Ionicè*, pro δαίνυσθ, quod per συγκοπὴν, pro δαινύοισθ, quæ causa *Penultimam* producendi, ad ἴδοιεν enim respicit, v. 245.

N O T Æ I N S C H O L I A.

245. Ἴασον Ἄργος) Confer cum *Scholiis, Eustath.* fol. 667. lin. 10. & 17. *Hesych.* Ἴασον Ἄργον) Ἡ Πελοπόννησος· ἀπὸ Ἰάσου βασιλέως ἢ ἡ Ἀχαΐα.

V A R I Æ L E C T I O N E S.

237. Λέλυτο) γρ. λέλυσο, λύοιτο, λελῦτο, vid. Not. in *Textum*.

246. Ὑμετέροισι) γρ. ἡμετέροισι, malè olim, in Recentioribus; ut Not. in *Textum*.

Εἴδὲς

Εἶδός τε, μέγεθός τε, ἰδὲ φρένας ἔνδον ἐΐσας.
Τόνδ' ἠμείβετ' ἔπειτα πολύφρων Πηνελόπεια,
Εὐρύμαχ', ἦτοι ἐμὴν ἀρετὴν, εἶδός τε, δέμας τὲ,
Ὤλεσαν ἀθάνατοι, ὅτε Ἴλιον εἰσανέβαινον
Ἀργεῖοι· μετὰ τοῖσι δ' ἐμὸς πόσις ἦεν Ὀδυσσεύς.
Εἰ κεῖνός γ' ἐλθὼν τ' ἐμὸν βίον ἀμφιπολεύοι,
Μεῖζόν κεν κλέος εἴη ἐμὸν καὶ κάλλιον οὕτω.
Νῦν δ' ἄχομαι· τόσα γάρ μοι ἐπέσσυται κακὰ δαίμων.
Ἦ μὴν δὴ ὅτε τ' ἦιε λιπὼν κατὰ πατρίδα γαῖαν,
Δεξιτερὴν ἐπὶ καρπῷ ἑλὼν ἐμὲ χεῖρα προσηύδα,
Ὦ γύναι, ὃ μὲν οἴω εὐκνήμιδας Ἀχαιοὺς
Ἐκ Τροίης εὖ πάντας ἀπήμονας ἀπονέεσθαι·
Καὶ γὰρ Τρῶας φασὶ μαχητὰς ἔμμεναι ἄνδρας,
Ἠμὲν ἀκοντιστὰς, ἠδὲ ῥυτῆρας ὀιστῶν,
Ἵππων τ' ὠκυπόδων ἐπιβήτορας, οἵ κε τάχιστα
Ἔκριναν μέγα νεῖκος ὁμοιΐου πολέμοιο.
Τῷ οὐκ οἶδ', εἴ κεν μ' ἀνέσῃ Θεὸς, ἦ κεν ἀλώω
Αὐτῇ σὺν Τροίῃ· σοὶ δ' αὐτάδε πάντα μελόντων.
Μεμνῆσθαι πατρὸς καὶ μητέρος ἠμὲν ἐπειτα
Ὡς νῦν, ἢ ἔτι μᾶλλον, ἐμεῦ ἀπεόντος ἐόντος.

" Specieque, staturâque, & mentibus intùs æqualibus.
Huic respondit tandem prudens Penelope,
" Eurymache, certè meam virtutem, speciemque, corpusque,
" Perdiderunt immortales, quandò in Ilium nave-profecti-sunt
" Argivi, cum his item meus maritus ibat Ulysses.
" Si ille redux hanc meam vitam gubernaret,
" Major gloria esset mea & melior ita.
" Nunc verò tristor: tot enim mihi immisit mala finistrum-numen.
" Certe quidem, quando ivit relictâ patriâ terrâ,
" Manu dextrâ in carpo captam me aliocutus est,
" O mulier, non puto bellicosos Achivos
" Ex Trojâ benè omnes illæsos redituros:
" Etenim Trojanos dicunt pugnaces esse viros,
" Et jaculatores, & extensores sagittarum,
" Equorumque pedibus-velocium agitatores; qui velocissimè
" Dijudicare *possint* magnam contentionem dubii belli.
" Ideò nescio, si me remittet Deus, an capiar
" Illic in Trojâ: tibi autem hìc omnia curæ sint.
" Recordare patris & matris in domibus,
" Sicut nunc, vel etiam magis, procul cùm ego fuero.

ΣΧΟΛΙΑ.

252. Ἦεν.] Ἀπῆν, ἐπορεύετο.
253. Ἀμφιπολεύοι.] Διέποι, θεραπεύοι.
255. Ἄχομαι.] Λυπεῦμαι. Ἐπέσσυτ.] Ἐπήγαγεν.
257. * Ἐπὶ καρπῷ.] Ἐπὶ τῷ χειρὸς μέρει.
260. Καὶ γὰρ Τρῶας φασί.] Πιθανῶς ἐλπιδοποιεῖ τὴν μνηστῆρας, ὅτι οὐ τοῖς ἄλλοις εἰκὸς ἀνυρηκὼς αὐτόν.
261. Ῥυτῆρας ὀιστῶν.] Τοξότας.
262. Ἵππων ἐπιβήτορας.] Ἱππικὰς.
263. Ἔκριναν.] Διέκρεναν, διεχώρισαν.
264. Ἀνέσῃ.] Ἐάσῃ, ἀναπέμψῃ.
266. Μεμνῆσθαι.] Νῦν, ἐπιμελεῖσθαι.

NOTÆ.

256. Ἦ μὴν δὴ, ὅτε τ' ἦιε λιπὼν κατὰ πατρίδα γαῖαν) Licet ἦιε scribatur τελευτάβως, at διευτάβως tamen legendum, quasi scriptum esset ᾖε, sicut suprà, ad v. 252. cujusmodi oppidò plura passim observamus. ut suprà, ad v. 246. item ad *Euripid.* Phœniss. v. 1388. & 1469. & ad *Medeam*, v. 635. in vocibus nempè, εἶσα, εἶσὸς, ἧκω, &c.

263. Ἔκριναν) Subaudi ἂν, ut sit pro κρίνειαν, quanquam ἔκριναν omnia *Exemplaria* præferant: nam *Conrado Rittershusio*, ad *Oppian.* p. 341. non jam assentior, qui hæc dicta de Priori Bello *Trojano*, sub *Hercule* & *Laomedonte*; non enim tunc illorum Equites prævalebant: verùm etiamsi victi tum essent, aliquandò prævaluri sunt visi, edito tum Virtutis specimine, licet non usquequaque felicitér.

NOTÆ IN SCHOLIA.

257. * Ex *Eustathio.*

VARIÆ LECTIONES.

252. Ἦεν) γρ. ᾖεν, *Br. Schol.*
254. Κὴν κλέος) γρ. κὲ κλέος, & γὲ κλέος, quod melius sonat, quàm κε.
256. Ἦ μὴν δὴ) γρ. ᾖε, vid. Not. in *Textum.*
263. Ἔκριναν) γρ. κρίνειαν, vid. Not. in *Textum.*

Αὐτὰρ

Αὐτὰρ ἐπὴν δὴ παῖδα γενειήσαντα ἴδηαι,
Γήμασθ', ᾧ κ' ἐθέλῃσθα, τεὸν κτέ' δῶμα λιπῆσα.
Κεῖνός γ' ὡς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται.
Νὺξ δ' ἔσται, ὅτε δὴ γυγερὸς γάμος ἀντιβολήσῃ
Οὐλομένης ἐμέθεν, τῇ τε Ζεὺς ὄλβον ἀπηύρα.
Ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίῃ χ' ἡμῖν ἰκάνῃ·
Μνηστήρων οὐχ ἥδε δίκη τοπάρoιθε τέτυκτο,
Οἵτ' ἀγαθῇ τε γυναῖκα καὶ ἀφνειοῖο θύγατρα
Μνηστεύειν ἐθέλωσι, καὶ ἀλλήλοις ἐείπωσιν·
Αὐτοὶ τοί γ' ἀπάγεσι βόας, καὶ ἴφια μῆλα,
Κήρηϊ δαῖτα φίλοισι, καὶ ἀγλαὰ δῶρα δίδοῦσιν·
Ἀλλ' οὐκ ἀλλότριον βίοτον νήποινον ἔδουσιν.
Ὣς φάτο· γήθησεν δῖ πολύτλας δῖος Ὀδυσσεύς,
Οὕνεκα τοῖ μὲν δῶρα παρέλκοιτο, θέλγε δὲ θυμὸν
Μειλιχίοις ἐπέεσσι· νόῳ δέ οἱ ἄλλα μενοίνα.
Τὸν δ' αὖτ' Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός,
Κήρυξ Ἰκαρίοιο, περίφρον Πηνελόπεια,
Δῶρα μὲν ὅς κ' ἐθέλῃσιν Ἀχαιῶν εὖ μάλ' ὀπάσσαι,
Δέξασθ'· οὐ γὰρ καλὸν ἀνήνασθαι δόσιν ἐστίν·
Ἡμεῖς δ' οὔτ' ἐπὶ ἔργα πάρος γ' ἴμεν, οὔτε πῃ ἄλλῃ,
Πρίν γέ σε τῷ γήμασθαι Ἀχαιῶν, ὅς τις ἄριστος.
Ὣς ἔφαθ' Ἀντίνοος· τοῖσιν δ' ἐπιήνδανε μῦθος.

" At poſtquam jam filium pubeſcentem videbis,
" Nube, cui voluerîs, tuâ domo relictâ.
" Ille ſic dixit: hæc jam nunc omnia perficiuntur.
" Nox autem erit, quando jam odioſæ nuptiæ obvenient
" Perditæ mei, cujus Jupiter beatitudinem abſtulit.
" Sed hic gravis dolor cor & animum cepit;
" Procorum non hic utique mos antea fuit,
" Qui bonamque mulierem & divitis filiam
" Deſpondere vellent, & inter ſe contenderent;
" Iidem ipſi abducunt boves & pingues oves,
Verberabant circumquaque; horum autē lusspiriū movebatur indecens,
Capitibus diverberatis: pavimentum adeò torum sanguine æstuabat.
Liodes verò Ulyssis irruens prehendit genua,
Et ipsum precans verba velocia alloquutus est,
" Oro te, *Ulysses*; tu verò meî rationem habe, & meî miserere:
" Nondum enim aliquam dico mulierum in domibus
" Dicturam, *me* neque aliquid feciſſe injustum; sed & alios
" Sedavi procos, quicunque talia faceret.
" Sed mihi non obediverunt, ut à pravis *rebus* manus abstinerent:
" Ideò & *propter* suas intemperies indecentem mortem occubuerunt.
" At ego cum his Aruspex, nihil cùm patraverim,
" Jacebo; sic non est gratia in posterum beneſactorum.
Hunc torvè conspicatus alloquutus est prudens Ulysses,
" Siquidem jam cum his Aruspex profiteris esse,
" Sæpè utique videris optâsse in ædibus,
" Longè mihi reditûs finem dulcis fieri;

Σ Χ Ο Λ Ι Α.

300. Οἶστρος.] Ὁ λιγυσμὸς μύωψ· ἔστι δὲ ζῶον ὑποχάλκου τοῦ μορφοῦ, ὅπερ ἂν εἰσέλθῃ εἰς τὰ ὦτα τῶν βοῶν, ἐξοιστρεῖν ἀναγκάζει τὰς βόας. καὶ Καλλίμαχος, Βόασσον, ὅτε μύωπα βοῶν καλέουσιν ἀμορβοί. Ἐδόνησεν.] Ἐκίνησεν, ἐπῆρεν.

308. *Ἐπισταδόν.] Ἦγουν, ἐπὶ τοῦ ἐπιστρέφειν· οὐδὲ κατὰ τόπους ἀφειμένως· ἢ συνεστραμμένως, ἢ ἰσχυρῶς. *Ex *Eustath.* fol. 1301. lin. 36.

309. Κρατῶν.] Αὐτὴ ἡ χεὶρ ἀπὸ εὐθείας τὸ κρᾶτα, ὡς μῆλα· ὥστε ἂν μήλων, ἤτοι κρατῶν σημαίνει ἡ, τὰ κεφαλῶν.

N O T Æ.

302. *Οἱ δ', ὥς τ' αἰγυπιοί*) Idem Versus occurrit, *Iliad.* π'. v. 428. *Sophocl.* Ajac. v. 169. Παῖδες γὰρ ὧδε, ὥστε πτηνῶν ἀγέλαι, Μίαν αἰγυπιὸν ἀπειλοῦσιν. Αἰγυπιὸς, Avis quædam rapax & prædatrix, ex Aquilarum genere, Vulturi tamen persimilis. *Agathias*, Καὶ τὸ μὲν Τιτυὸν καθ' ὅλης δύο γῦπες ἔδουσιν· Ἡμᾶς δὲ ζώπυρος τέσσαρες αἰγυπιοί. Undè *Suidas* deceptus, putabat Αἰγυπιὸν idem Veteribus, quod γῦπα Modernis, oblitus γῦπα *Homero* etiam notum, *Iliad.* δ'. v. 237. & aliàs plus semel, Τέρενα χρόα γῦπες ἔδουσι.

316. Ἀλλά μοι ὐ πείθοντο) Vid. *Duporti* Gnomologiam in locum.

318. Ἐοργώς) De hâc voce, vid. ad φ'. v. 96.

319. Ὡς ὄφελ' ἔστι χάρις μετόπισθ' εὐεργέων) Vid. ad δ'. v. 695.

V A R I Æ L E C T I O N E S.

303. Θορῶσι) γρ. θόρωσι.

306. Γίγνεται) γρ. γίνεται.

314. Εἰπεῖν, οὐδέ τι ῥέξαι) γρ. εἰπεῖν, μὴ δὲ τι ῥέξαι· τὸ μὲν enim, omninò necessarium, videtur excidisse.

Σοὶ

Σοὶ δ' ἄλοχόν τε φίλην σπέσθ, καὶ τέκνα τεκέσθαι·
Τῷ οὐκ ἂν θανάτόν γε δυσπλεγέα προφύγοιμι.
Ὣς ἄρα φωνήσας, ξίφος εἵλετο χειρὶ παχείῃ
Κείμενον, ὅ ῥ' Ἀγέλαος ἀποπρόεηκε χαμᾶζε
Κτφνόμενος· τῷ τόγε κατ' αὐχένα μέσσον ἔλασσε.
Φθεγξαμένου δ' ἄρα τοῦ γε κάρη κονίῃσιν ἐμίχθη.
Τερπιάδης δέ τ' ἀοιδὸς ἀλύσκασε κῆρα μέλαιναν
Φήμιος, ὃς ῥ' ἤειδε μετὰ μνηστῆρσιν ἀνάγκῃ·
Ἕστη δ' ἐν κείρεσσιν ἔχων φόρμιγγα λίγειαν
Ἀγχι παρ' ὀρσοθύρῃ· δίχα δὲ φρεσὶ μερμήριζεν,
Ἦ ἐκδὺς μεγάροιο, Διὸς μεγάλου πολὺ βωμὸν
Ἑρκεῖον ἵζοιτο τετυγμένον, ἔνθ' ἄρα πολλὰ

" Te autem uxoremque *meam* dilectam
" Ideo non mortem gravem aufugies.
Sic utique locutus, enſem cepit manu forti
Jacentem, quem Agelaus abjecerat humum
Intertectus; illo hunc in cervicem mediam percuſſit;
Loquentis verò hujus caput pulveribus mixtum eſt.
Terpiades autem cantor declinârat mortem nigram
Phemius; qui canebat inter procos neceſſitate.
Stabat utique in manibus tenens citharam ſtridulam
Propè apud januam; bifariam etenim mentibus cogitabat;
An egreſſus domo Jovis magni ad aram
Hercæi ſederet elaboratam, ubi multa

ΣΧΟΛΙΑ.

324. Σπέσθ.] Ἀκολουθῆσαι· λοιπὸν τὸ ἕπου, τὸ ἀπαρέμφατον ἔπεσθαι· καὶ πλεονασμῷ τοῦ σ', ἕσπεσθαι, καὶ σπέσθ. Eadem ferè, quæ *Brevia Scholia*, ut non rarò.

327. Κείμενον· ὅ ῥ' Ἀγέλαος) Τὸ ὁ producitur, in *Ceſurâ*, vi *Toni* ſui, & ante *Aſperam* etiam, *ἀναδιπλώσεως* capacem; nonnulli enim ſcribunt, ὅ ῥ', ut pluries apud *Apollon.* Argonaut. quomodò τόρρα, *Theocrito*, &c. vid. ad *Iliad.* π'. v. 228.

329. Φθεγξαμένου δ' ἄρα τοῦ γε) De hoc loco, vid. quæ Nos, ad *Iliad.* κ'. v. 457.

330. Τερπιάδης δέ τ' ἀοιδὸς ἀλύσκασε) Plurimi Codd. ἀλύσκαζε legebant: verùm qui benè adverterit, quòd *Homerus* penultimam τοῦ ἀλυσκάζειν ſemper producat, nempè ratione rectè habitâ ad vim *Duplicis* Conſonæ, ζ. mecum fortè putabit, legendum potius ἀλύσκασε, cum Codice *Oxonienſi*; quem, cum ratione, *Solum* ſequi mallem, quàm, contra ra-

tionem, *Sexcentos* alios; utut vetuſtatis redoleant.

331. Φήμιος, ὃς ῥ' ἤειδε μετὰ μνηστῆρσιν ἀνάγκῃ) Hic Verſus extat, *Odyſſ.* α'. v. 156. Φημίου ὃς ῥ' ἤειδε παρὰ μνηστῆρσιν ἀνάγκῃ, undè notanda *Var. Lect.*

335. Ἑρκεῖον Διὸς) Intra magnorum Principum Palatia, erat Altare *Jovi* ſacrum, ad quod tota Regia Familia, in arduis & incertis rebus, ſe conferre ſolebat; undè *Neoptolemi* crudelis Impietas notatur à Poetis, quòd *Priamum* Regem ad ipſam *Hercæi Jovis* aram obtruncaret. Ἑρκεῖος ἐλαχετο ὁ Ζεὺς, ὅτι ἐν τῷ τοῦ αὐλῆς ἔρκει ἐδέδμητο αὐτῷ ἅπας ὁ βωμὸς, ὡς ἱφόρος τε ἐν τῷ ἱερῷ ἁπάντων· ἱερὸς δ' ἦν, τὸ πρὸ τῶν αὐλῶν καὶ πάντα τὰ δόμου τειχίσαι. Erat & aliud Altare Domeſticum, παρὰ τῶν Ἑστίαν, Διὶ ἑφεστίῳ ἱερὸν, quem *Herodotus* dixerit ἑστίον. Horum loco, Domeſtica jam Sacella in Magnatum Palatiis obtinuerunt. Vid. *Conrad. Ritterſhuſ.* in *Opuſc.* p. 341.

NOTÆ IN SCHOLIA.

324. *Ὅπως, ἅμα ἑσπέσθ) Ità pro ὅμως, ἅμα σπέσθ, ex Emendatioribus Exemplaribus, ut *Odyſſ.* δ'. v. 38. & eadem *Lectio* confirmatur, *Iliad.* ε'. v. 222. quamquam nec diffitear, utrobique à nonnullis legi, ἅμα σπέσθ. Juxtà hæc autem *Scholia*, ἕσπεσθ legendum.

330. *Τερπιάδης) Ità, pro τέρπιος, lego, & emendo. *Κῆρα) Τὴν γυναικοφόρον μοῖραν, ex *Etymol.* M. v. Κήρ. Τὸ *ἔκαυσαν, infrà, ad v. 336.

VARIÆ LECTIONES.

325. Προφύγοιμι) γρ. προφύγοιμα.

327. Ὅ ῥ') γρ. ὅ ῥ', vid. Not. in *Textum*.

329. Φθεγξομένου) γρ. φθεγξομένη, vid. ad *Il.* κ'. v. 457.

330. Ἀλυσκασε) γρ. ἀλύσκαζε, non benè. Vid. Not. in *Textum*.

331. Μετὰ) γρ. παρὰ, vid. Not. in *Textum*.

333. Μερμήριζεν) γρ. μερμήριξεν, *H. Steph.*

334. Πολὺ) γρ. πρὸ, & παρὰ, ut infrà, v. 379.

Λαέρ-

Λαέρτης, Ὀδυσεύς τε, βοῶν ἐπὶ μηρί' ἔκαιον·
Ἦ γούνων λίσσοιτο παρασταίης Ὀδυσῆα.
Ὣδε δέ οἱ Φρονέοντι δοάσσατο κέρδιον εἶναι,
Γούνων ἅψασθαι Λαερτιάδεω Ὀδυσῆος.
Ἦτοι ὁ φόρμιγγα γλαφυρὴν κατέθηκε χαμᾶζε
Μεσσηγὺς κρητῆρος, ἰδὲ θρόνου ἀργυρόηλου·
Αὐτὸς δ' αὖτ' Ὀδυσῆα παρασταίης λάβε γούνων,
Καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα,
Γουνοῦμαί σ', Ὀδυσεῦ· σὺ δέ μ' αἴδεο, καί μ' ἐλέησον·
Αὐτῷ τοι μετόπισθ' ἄχος ἔσται, εἴκεν ἀοιδὸν
Πέφνῃς, ὅστε θεοῖσι καὶ ἀνθρώποισιν ἀείδω.
Αὐτοδίδακτος δ' εἰμί· θεὸς δέ μοι ἐν φρεσὶν οἴμας
Παντοίας ἐνέφυσεν· ἔοικα δέ τοι παρακλείειν,
Ὥστε θεῷ· τῷ μή με λιλαίεο δειροτομῆσαι.
Καί κεν Τηλέμαχος τάδε γ' εἴποι, σὸς φίλος υἱός,
Ὡς ἐγὼ οὔτε ἑκὼν ἐς σὸν δόμον, οὐδὲ χατίζων,
Πολυΐμελον μητρὸν ἀεισόμενος καὶ δαῖτας,
Ἀλλὰ πολὺ πλέονες καὶ κρείσσονες ἦγον ἀνάγκη.
Ὣς φάτο· τῷ δ' ἤκουε ἰεὶς Τηλεμάχοιο,

Laërtes, Ulyſſesque, boum femora combuſſerant;
An ad genua precaretur provolutus Ulyſſis.
Sic autem ei cogitanti viſum eſt melius eſſe,
Genua tangere Laërtiadæ Ulyſſis.
Certè hic citharam concavam depoſuit humi
Medio crateris, & throni argenteis clavis-diſtincti;
Ipſe autem rurſus Ulyſſis ruens cepit genua,
Et ipſum precans verba velocia allocutus eſt,
" Oro te, Ulyſſes, tu verò meî rationem habe, & meî miſerere;
" Ipſi tibi in futurum dolor erit, ſi cantorem
" Interficias; qui Diis & hominibus cano.
" Ipſe à me edoctus ſum; Deus enim mihi in mentibus cantilenas
" Omnimodas inſevit; videor autem tibi accinere,
" Tanquam Deo; ideò nè me cupias collo-truncare.
" Et Telemachus hæc dicet, tuus dilectus filius;
" Quòd ego non voluntarius in tuam domum, neque indigens,
" Veni, procis cantaturus ad convivia;
" Sed multò plures & potentiores duxerunt me vi.
Sic dixit, hunc autem audivit ſacra vis Telemachi,

ΣΧΟΛΙΑ.

336. Ἔκαιον.] Ἔκαιεν.
337. Παρασταίης.] Παρασπάσειας.
347. Αὐτοδίδακτος.] Ἐκ φύσεως διδακτός.

NOTÆ.

347. Αὐτοδίδακτός εἰμι, θεὸς δέ μοι ἐν φρεσὶν οἴμας) Αὐτοδίδακτος· ὃς ἀνηκόων ὧν οἶδεν ἐδίνα διδάσκαλον, ἀλλὰ θεὸν μόνον· ἔοικε τῷ φύσει παρ' ἑαυτοῦ. Quod minimè videtur intelleciſſe *Max. Tyr.* §. 22. & §. 28. Longe meliùs *Plato*, in *Ione*. Πάντες οἱ τῶν ἐπῶν ποιηταί, οἱ ἀγαθοὶ οὐκ ἐκ τέχνης, ἀλλ' ἔνθεοι ὄντες, καὶ κατεχόμενοι, πάντα ταῦτα τὰ καλὰ λέγουσι ποιήματα. Et *Philo Judæus*, l. De Profug. Ἐν τούτῳ πάντῃ πᾶς αὐτομαθὴς, καὶ ΑΥΤΟΔΙΔΑΚΤΟΣ σοφός· ἐκ γὰρ σκέψεως ἐμελέτησε καὶ πόνους ἐβιάσθη· ἀγόμενος δ' αὐθις ὑπεξαιρούμενος ὕδατι σοφίαν ἄνωθεν ὁμβρηθῆναι ἀπ' οὐρανοῦ· ἧς ἀκρότης σπάσασα ἐπιπλήξη τῷ διαπλεόντι μεθύσαι τὴν μετ' ὀρθότητος λόγου νῆφουσαν μέθην. Plura vid. ad *Gisberti Cuperi* Ἀποθέωσιν *Homeri* p. 83. & in *Anacreontis* noſtri Vitâ, §. XXIII.

348. Ἔοικα δ' τοι παρακλείειν, Ὥστε θεῷ) Egregium hunc locum, poſt *Euſtathium*, fol. 1930. lin. 6. Edit. *Roman.* laudat *Meric. Caſaubon.* Diſſertat. de Nuperâ *Homeri* Editione, §. 1. p. 50. ubi confert, cum illo *Geneſ.* c. 33. v. 10. Εἶδον τὸ πρόσωπόν σου, ὡς ἂν τις ἴδοι πρόσωπον Θεοῦ.

NOTÆ IN SCHOLIA.

336. * Ἔκαιον) Ἔκαιεσαν. Ità reſtituo, pro illo, quod hactenùs in fine *Scholii*, ad v. 330. legebatur, Κῆρα) ἔκαιεσαν, pro quo nunc ſubſtituo, ut ſuprà, ad v. 330. & hic.

VARIÆ LECTIONES.

336. Ἔκαιον) γρ. ἔκηαν.
347. Θεὸς δέ μοι ἐν φρεσὶν οἴμας) γρ. Θεὸς δέ μοι ἄμβαλεν οἴμας, *Juſtin. Martyr.* de Monarchiâ Dei. Θεοὶ δέ μοι ἔπασσαν ἀμφήν, *Max. Tyr.* §. 22. Uterque memoritèr, nec reſpiciebant τὸ ἐνέφυσεν, quod in eâdem Clauſulâ ſequitur.
353. Κρείσσονες) γρ. πρίσσονες, *H. Steph.* at nuſquam aliàs hæc Vox *Homero* uſurpata, illa, ſæpiſſimè.

Αἶψα δ' ἐὸν πατέρα προσεφώνεεν ἐγγὺς ἐόντα,
Ἴσχεο, μηδέ τι τοῦτον ἀναίτιον ὄτρυνε χαλκῷ·
Καὶ κήρυκα Μέδοντα σαώσομεν, ὅστε μεδ' αἰεὶ
Οἴκῳ ἐν ἡμετέρῳ κηδέσκετο παιδὸς ἐόντι.
Εἰ δὴ μή μιν ἔπεφνε Φιλοίτιος, ἠὲ συβώτης,
Ἠέ σοι ἀντεβόλησεν ὀρινομένῳ κατὰ δῶμα.
Ὣς φάτο· τὸν δ' ἧκουσε Μέδων, πεπνυμένα εἰδώς·
Πεπληγὼς γὰρ ἔκειτο ὑπὸ θρόνον, ἀμφὶ δὲ δέρμα
Ἕσσο βοὸς νεόδαρτον, ἀλύσκων κῆρα μέλαιναν.
Αἶψα δ' ἀπὸ θρόνου ὦρτο, θοῶς δ' ἀπέδυσε βοείην.
Τηλέμαχον δ' ἄρ' ἔπειτα προσαίξας λάβε γούνων,
Καί μιν λιτὸμυθος ἔπεα πτερόεντα προσηύδα,
Ὦ φίλ', ἐγὼ μὲν ὅδ' εἰμί· σὺ δ' ἴσχεο· εἶπε δὲ πατρί,
Μή με σοὶ ἀθηνέων δηλήσεται ὀξέϊ χαλκῷ,
Ἀνδρῶν μνηστήρων κεχολωμένος· οἵ οἱ ἔκειρον
Κτήματ' ἐνὶ μεγάροις, σὲ δὲ νήπιον οὐδὲν ἔπιον.
Τόνδ' ἐπιμειδήσας προσέφη πολύμητις Ὀδυσσεύς,
Θάρσει, ἐπεὶ ἦ σ' ὧδε ἐγυάλιξε καὶ ἐσάωσεν,
Ὄφρα γνῷς κατὰ θυμὸν, ἀτὰρ εἴπῃσθα καὶ ἄλλῳ,
Ὡς κακοεργίης ἐρέγεσίη μέγ' ἀμείνων.
Ἀλλ' ἐξελθόντες μεγάρων ἕζεσθε θύραζε
Ἐκ φόνου εἰς αὐλὴν, σύ τε, καὶ πολύφημος ἀοιδὸς,
Ὄφρ' ἂν ἐγὼ κατὰ δῶμα πονήσομαι, ὅττεό με χρή.
Ὣς φάτο· τὼ δ' ἔξω βήτην μεγάροιο κιόντε.
Ἑζέσθην δ' ἄρα τώγε Διὸς μεγάλου ποτὶ βωμὸν,
Πάντοσε παπταίνοντε, φόνον πολιηγενέων αἰεί.
Πάντηνεν δ' Ὀδυσεὺς καθ' ἕδρην, εἴπης ἔτ' ἀνδρῶν

" Stasimque suum patrem alloquutus
" est, qui propè erat;
" Absine, neque item hunc insontem percute ære:
" Et præconem Medontem servabimus,
" qui mei semper
" Domi in nostrâ curam habuit, dum
" puer essem.
" Si modò non ipsum interfecit Philœtius, vel subulcus,
" Vel tibi obvius fuit concitato impetu
" ruenti per domum.
Sic dixit, hunc verò audivit Medon, prudentia sciens:
Expavefactus enim jacebat sub sede, circum autem pellem
Indutus erat bovis nuper-excoriatam, evitans mortem nigram.
Statim verò à throno surrexit, citoque abjecit bovinam pellem:
Telemacho demùm provolutus illius prehendit genua,
Et ipsum precans verba velocia alloquutus est,
" O amice, ego quidem hic sum: tu verò te reprime, & ora patrem;
" Nè me ferociens perfundet acuto ære,
" Virorum procorum camà iratus: qui ei torquerunt
" Res in domibus; te verò stulti nihil honoraverunt.
Hunc subridens alloquutus est prudens Ulysses,
" Bono-esto-animo, quoniam te hic liberavit & servavit;
" Ut noscas in animo & dicas etiam alii,
" Quòd benefacta malefactis sunt longè meliora.
" Verùm egressi ex ædibus sedete foris
" Ex cæde in aulâ, tuque & multùm famosus cantor,
" Dum ego per domum fatagam, quod me oportet.
Sic dixit: illi igitur exiverunt domo euntes.
Sederuntque hi Jovis magni ad altare,
Undique circumspicientes, cædem expectantes semper.
Circumspiciebat quoque Ulysses per suam domûm, si quis adhuc virorûm

Σ Χ Ο Λ Ι Α.

358. Κηδέσκετο.] Ἐφρόντιζεν, ἐπεμελεῖτο.
363. Νεόδαρτον.] Νεωστὶ ἐκδαρέν.
368. Περιδενέων.] Ἥτοι περιστῶς ἰχύων.
373. Εἰπῇσθα.] Εἴπῃς.
374. Κακοεργίης.] Κακῆς πράξεως.
375. Ἕζεσθε.] Καθέζεσθε.
376. Πολύφημος.] Πολλὰς εὐφημίας· ἢ πολλὰς φημίζων.
377. Ὅττεο.] Ὅτῳ ἄν.

N O T Æ.

374. Ὡς κακοεργίης ἐρέγεσίη μέγ' ἀμείνων) Vid. *Duport.* Gnomolog. *Homeric.* in locum.

Variæ Lectiones.

356. Μηδέ τι) γρ. μηδ' ἔτι.
370. Ἔπον) γρ. ἔπεσον.
379. Ποτὶ) γρ. περὶ, & παρὰ, ut suprà, v. 334.

Ζωὸς

Ζωὸς ὑποκλοπέοιτο, ἀλύσκων κῆρα μέλαιναν.
Τὼς ἦ ἴδεν μάλα πάντας ἐν αἵματι καὶ κονίῃσι
Πεπλειότας πολλοὺς ὥς τ' ἰχθύας, οὕσθ' ἁλιῆες
Κοῖλον ἐς αἰγιαλὸν πολιῆς ἔκτοσθε θαλάσσης
Δικλύῳ ἐξέρυσαν πολυωπῷ· οἱ δέ τε πάντες
Κύμαθ' ἁλὸς ποθέοντες ἐπὶ ψαμάθοισι κέχυνται,
Τῶν μὲν τ' ἠέλιος Φαέθων ἐξείλετο θυμόν·
Ὣς τότ' ἄρα μνηστῆρες ἐπ' ἀλλήλοισι κέχυντο.
Δὴ τότε Τηλέμαχον προσέφη πολύμητις Ὀδυσσεύς,
Τηλέμαχ', εἶδ' ἄγε μοὶ κάλεσον τροφὸν Εὐρύκλειαν,
Ὄφρα ἔπος εἴπωμι, τό μοι κατὰ θυμόν ἐστιν.
Ὣς φάτο· Τηλέμαχος δ' ἧλιξ ἐπεπείθετο πατρί.
Κινήσας δ' ὀλίγον, προσέφη τροφὸν Εὐρύκλειαν,
Δεῦρο δὴ ὄρσο, γερονὺ παλαιγενές, ἥτε γυναικῶν
Δμωάων σκοπὸς ἔσσι κατὰ μέγαρ' ἡμετεράων·
Ἔρχεο· κικλήσκει σε πατὴρ ἐμός, ὄφρα τί εἴπῃ.
Ὣς ἄρ' ἐφώνησεν· τῇ δ' ἄπλετος ἔπλετο μῦθος.
Ὤϊξεν δ' θύρας μεγάρων εὖ ναιεταόντων·
Βῆ δ' ἴμεν· αὐτὰρ Τηλέμαχος τοῖσδ' ἡγεμόνευεν.
Εὗρεν ἔπειθ' Ὀδυσῆα μετὰ κταμένοις νεκύεσσιν,
Αἵματι καὶ λύθρῳ πεπαλασμένον ὥστε λέοντα,
Ὅς ῥά τε βεβρωκὼς βοὸς ἔρχεται ἀγραύλοιο,
Πᾶν δ' ἄρα οἱ στῆθός τε, παρήιά τ' ἀμφοτέρωθεν
Αἱματόεντα πέλει· δεινὸς δ' εἰς ὦπα ἰδέσθαι·

Vivus ſublatereť, fugiens mortem nigram.
Hos autem vidit valdè omnes in ſanguine & pulveribus
Proſtratos multos: ſicut piſces, quos piſcatores
Concavum in littus album extra mare
Reti extraxerunt foraminoſo; ſi utique omnes
Undas maris deſiderantes in arenis fuſi ſunt;
Horum quidem Sol perluſtris abſtulit animum:
Sic tunc nempè proci ad invicem fuſi erant.
Tum demùm Telemachum alloquutus eſt prudens Ulyſſes,
Telemache, eia agè, mihi voca nutricem Eurycleam,
Ut verbum dicam, quod mihi in animo eſt.
Sic dixit; Telemachus verò dilecto obedivit patri;
Motâ itaque januâ allocutus eſt nutricem Eurycleam,
Eia jam huc ades, anus olim genita, quæ mulierum
Famularum gubernatrix es in domibus noſtris:
Veni, vocat te pater meus; ut aliquid dicat.
Sic locutus eſt, huic autem ratum & fixum fuit verbum:
Aperuit igitur januas domorum benè-habitatarum:
Perrexitque ire; at Telemachus antè præibat.
Invenit demùm Ulyſſem cum interfectis mortuis,
Sanguine & pulvere inquinatum; tanquam leonem,
Qui poſt comeſum bovem venit agreſtem;
Omne autem ei pectuſque, genæque utrinque
Cruentæ ſunt; horribilis verò in vultum aſpectu.

ΣΧΟΛΙΑ.

382. Ὑποκλοπέοιτο.] Ὑποκλέπτοιτο.
386. Πολυωπῷ.] Πολλὰς τρύπας ἔχοντι πρὸς δίκτυον.
394. Κινήσας.] Κόψας, κρούσας.
395. Παλαιγενές.] Πρεσβυτέρα.

NOTÆ.

384. Πεπλειότας) Ità quidem, *Verſus* causâ, cum Duabus *Brevibus* Vocalibus ſcribo, ipſius Poetæ auctoritate, qui aliàs dixit, *Iliad.* φ'. v. 503. Πεπτεότ' ἄλλυδις ἄλλα μετ' εὐφαέσιγσι κονίης· eadem utrobique ratio; quare πεπληώτας, ad *Var. Lect.* remitto. Potuit tamen & πεπλειῶτας, τρισυλλάβως hic legi, per συνίζησιν. Verùm *Ilias*, *Odyſſeâ* ſemper correctior & olim fuit.

401. Κταμένοισι νέκυσσιν) Et hic, & ψ'. v. 45. ubi idem *Verſus* occurrit, e'. duplicandum cenſeo, in νέκυσσιν, pro νέκυσιν, quomodo *Euſtathii* Textus legit, fol. 801. lin. 7. ob *Metri* neceſſitatem; ut in aliis ejuſcemodi, quale illud, *Iliad.* ε'. v. 308. Οἰκία ναιετάασκε πολέσσ' ἀνδράσσιν ἀνάσσων, pro πολέσι ἀνδράσι. Cùm tamen ſæpiùs apud *Homerum*, νεκύεσσιν ſcribatur, mallem legere, κταμένοις νεκύεσσιν.

403. Βεβρωκὼς βοὸς) Vid. ſuprà, ad v. 11. Ὄφρα πίοι εἴνοσιν.

VARIÆ LECTIONES.

384. Πεπλειότας) γρ. πεπλειῶτας, & πεπληώτας, vid. Not. in *Textum*.

401. Κταμένοισι νέκυσσιν) γρ. κταμένοισι νέκυσσι, & κταμένοις νεκύεσσιν, vid. Not. in *Textum*.

Ὡς Ὀδυσῆος πεπάλακτο πόδας ἠ χεῖρας ὕπερθεν.
Ἦδ' ὡς ἓν νέκυάς τε, ἠ ἄσπετον εἴσιδεν αἷμα,
Ἰθυσέν ῥ' ὀλολύξαι, ἐπεὶ μέγα εἴσιδεν ἔργον·
Ἀλλ' Ὀδυσῆος κατέρυκε, ἠ ἔσχεθεν, ἱεμένω περ.
Καί μιν Φωνήσας ἔπεα πτερόεντα προσηύδα,
Ἐν θυμῷ, γρηῦ, χαῖρε, ἠ ἴσχεο, μηδ' ὀλόλυζε·
Οὐχ ὁσίη, κταμένοισιν ἐπ' ἀνδράσιν ὐχεσθαι.
Τώσδε δὴ μοῖρ' ἐδάμασσε Θεῶν, ἠ σχέτλια ἔργα·
Οὔ τινα γὰρ τίεσκον ὑπερθνίων ἀνθρώπων,
Οὐ κακὸν, οὐδὲ μὲν ἐσθλὸν, ὅτις σφέας εἰσαφίκοιτο·
Τῷ ἠ ἀταθαλίῃσιν ἀεικέα πότμον ἐπέσπον.
Ἀλλ' ἄγε μοὶ σὺ γυναῖκας ἐνὶ μεγάροις κατάλεξον,
Αἵ τέ μ' ἀπιμάζουσι ἠ αἳ νηλητεῖς εἰσι.
Τόνδ' αὖτε προσέφη φίλη τροφὸς Εὐρύκλεια,
Τοιγὰρ ἐγώ τοι, τέκνον, ἀλήθειαν καταλέξω·
Πεντήκοντά τοι εἰσὶν ἐνὶ μεγάροισι γυναῖκες
Δμωαὶ, τὰς μὲν τ' ἔργα διδάξαμεν ἐργάζεσθαι,
Εἰρεά τε ξαίνειν, ἠ δουλοσύνης ἀνέχεσθαι.
Τάων δώδεκα πᾶσαι ἀναιδείης ἐπέβησαν,
Οὔτ' ἐμὲ πίσυσαι, οὔτ' αὐτῷ Πηνελόπειαν.
Τηλέμαχος δὴ νέον μὲν ἄέξετο, οὐδέ ἑ μήτηρ

Sic Ulyſſes inquinatos habebat pedes & manus deſuper.
Hæc igitur quùm mortuoſque, & copioſum inſpexit ſanguinem,
Aggreſſa eſt exultare; quoniam magnum vidit opus:
Sed Ulyſſes prohibuit, & tenuit ut cupientem:
Et ipſam accerſitam verba velocia allocutus eſt,
" In animo, anus, gaude, & te cohibe, neque exultationem inſtitue:
" Non eſt fas, interfectis inſultare viris.
" Hos verò parca domuit Deorum, & impia opera:
" Neminem enim honorabant terreſtrium hominum,
" Non malum, neque quidem bonum, qui ad ipſos perveniſſet:
" Ideò & propter ſuas intemperies indecentem mortem aſſecuti ſunt.
" At agè, mihi tu mulieres eas in ædibus recenſe,
" Quæ me inhonorant, & quæ peccati expertes ſunt.
Hunc rurſus alloquta eſt dilecta nutrix Euryclea,
" Etenim ego tibi, fili, veritatem declarabo;
" Quinquaginta tibi ſunt in domibus mulieres
" Famulæ; has quidem opera docuimus operari,
" Lanaſque carminare, & ſervitutem tolerare:
" Harum duodecim omnes impudentiæ ſe dederunt,
" Neque me honorantes, neque ipſam Penelopem.
" Telemachus verò nuper quidem crevit, neque ipſum mater

Σ Χ Ο Λ Ι Α.

408. Ὀλολύξαι.] Εὐξασθαι.
412. Οὐχ ὁσίη.] Οὐ δίκαιον.
424. Ἀναιδίης ἐπίβησαν.] Ἐπὶ πολὺ τὸ ἀναιδίας ἐπῆλθον.

Ν Ο Τ Æ.

408. Ἴθυσεν ῥ' ὀλολύξαι) Vid. infrà, ad v. 411.

411. Μηδ' ὀλόλυζε) Vid. ad *Euripid.* Iphig. *Taur.* v. 1337. item, ad *Anacreont.* noſtrum, v. 634. & *Duportum*, in hunc locum, ex *Meric. Caſaubon.* & aliis.

412. Οὐχ ὁσίη, κταμένοισιν ἐπ' ἀνδράσιν ὐχεσθαι) Ità *Salomon*, Proverb. c. 4. v. 17. Ἐὰν πίσῃ ὁ ἐχθρός σου, μὴ ἐπιχαρῇς αὐτῷ· ὃ δὲ τῷ ὑποκειμένῳ αὐτοῦ μὴ ἐπαίρου· ὅτι ὄψεται Κύριος, καὶ οὐκ ἀρέσει αὐτῷ, καὶ ἀποστρέψει τὸν θυμὸν αὐτοῦ ἀπ' αὐτοῦ. Hunc *Homeri* locum *Archilochus* ità imitatur, Οὐ γὰρ ἐσθλὰ κατθανοῦσι κερτομεῖν ἐπ' ἀνδράσιν, & *Cratinus* Comicus, Οὐ λάκωσι, — φοβερὸν ἀνθρώποις τόδε Κταμένοις ἐπ' αἰζηοῖσι καγχάζειν μέγα. Vid. *Meric. Caſaubon.* De Nuperâ *Homeri* Edit. §. 1. p. 38. ad p. 44. & *Duporti* Gnomolog. in locum. Subaudi, Θέμις.

418. Νηλητεῖς) De hâc Voce, diximus ſuprà, ad π'. v. 317.

420. Ἀλήθειαν) Vid. ſuprà, ad η'. v. 297.

424. Δαΐδικα πᾶσαι) De hâc *Phraſi*, vid. ad *Iliad.* σ'. v. 470.

Variæ Lectiones.

412. Οὐχ ὁσίη, κταμένοισιν) γρ. οὐχ ὅσιον φθιμένοισιν, *Plinius*, Epiſt. l. 9. vid. *Duport.* Gnomolog. in hunc locum; & ἐχ ὁσίη φθιμένοισιν, *Heſch.* v. Ἐναφορίους.

413. Τώσδε δὴ μοῖρ' ἐδάμασσε θεῶν) γρ. τώσδε δίκη ἐδάμασσε θεῶν, *Duport.* ut ſuprà.

418. Νηλητεῖς) γρ. νηλητάς, &c. ut τ'. v. 498. & π'. v. 317.

420. Ἀλήθειαν) γρ. ἀληθείῃ, malè, olim. Vid. ad *Textum*.

423. Δουλοσύνης) γρ. δουλοσύνῃ, *H. Steph.*

Σημαί-

Σημαίνειν εἴασκεν ἐπὶ δμωῇσι γυναιξίν.
Ἀλλ' ἄγ' ἐγὼν ἀναβᾶσ' ὑπερῴια σιγαλόεντα,
Εἴπω σῇ ἀλόχῳ, τῇ τις Θεὸς ὕπνον ἐπῶρσε.
Τὼς ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Μήπω τοῦτ' ἐπέγειρε· σὺ δ' οἶκόνδε εἶπὲ γυναιξίν,
Ἐλθέμεν, αἴπερ πρόσθεν ἀειρέα μηχανόωντο.
Ὣς ἄρ' ἔφη· γρηὺς δ' ἐκ μεγάροιο βεβήκει,
Ἀγγελέουσα γυναιξὶ, καὶ ὀτρυνέουσα νέεσθαι.
Αὐτὰρ ὁ Τηλέμαχον, καὶ βουκόλον, ἠδὲ συβώτην
Εἰς ἓ καλεσσάμενος, ἔπεα πτερόεντα προσηύδα,
Ἄρχεῖε νῦν νέκυας φορέειν, καὶ ἄνωχθε γυναῖκας·
Αὐτὰρ ἔπειτα θρόνους περικαλλέας, ἠδὲ τραπέζας,
Ὑδατι καὶ σπόγγοισι πολυτρήτοισι καθαίρειν.
Αὐτὰρ ἐπὴν δὴ πάντα δόμον κάτα κοσμήσησθε,
Δμῳὰς ἐξαγαγόντες εὐτροχιῆ μεγάροιο,
Μεσσηγύς τε θόλου καὶ ἀμύμονος ἕρκεος αὐλῆς
Θεινέμεναι ξίφεσιν τανυήκεσιν, εἰσόκε πασέων
Ψυχὰς ἐξαφέλοισθε, καὶ ἐκλελάθοιτ' Ἀφροδίτης,
Τὴν ἄρ' ὑπὸ μνηστῆρσιν ἔχον, μίσγοντό τε λάθρῃ.

" Imperare ſivit famulis mulieribus.
" Sed agè, ego ubi aſcendero in cœnacula ſplendida,
" Dicam tuæ uxori; cui aliquis Deus ſomnum injecit.
Hanc reſpondens allocutus eſt prudens Ulyſſes,
" Nondum hanc excita; tu verò huc ede mulieribus,
" Ut veniant; quæ antèa indecentia operatæ ſunt.
Sic dixit; anus igitur per domum exivit
Nunciatura mulieribus, & impellens venire.
At hic Telemachum, & bubulcum, & ſubulcum
Ad ſe vocatos, verba velocia allocutus eſt,
" Incipite nunc mortuos portare, & jubete mulieres:
" At poſtea thronos pulchros, & menſas,
" Aquâ, & ſpongiis foraminoſis purgate.
" Sed quum jam omnia per domum ordinaveritis,
" Famulas eductas è fabrefactâ domo,
" Inter medium tholum, & laudatum ſeptum aulæ,
" Diverberate enſibus longè acutis, donec omnium
" Animas auferatis, & obliviſcantur Veneris,
" Quam ſub procis habuerunt, mixtæque ſunt clam.

ΣΧΟΛΙΑ.

431. Μήπω τοῦτ' ἐπέγειρε] Ἐκώλυεν, ἵνα μὴ γυναῖκας τὰς δέλας.
434. Νίσσε.] Ἔλθοι, ἐπεύξεται.
436. Εἰς ἓ.] Πρὸς ἑαυτόν.
437. Ἄρχεῖε.] Ἄρξασθε.
442. Θόλου.] Κυκλοτερῆς οἰκήματος, λέγει δὲ τοῦτο διὰ τὸ καὶ ἐκάστην ἡμέραν εἰς χρῆσιν πίπτοντα ἀπτίβητον, οἷον κρατῆρας καὶ ὑποκύστιδα, ἢ τὰ ὅμοια.
443. Θεινέμεναι.] Τύπτειν.

NOTÆ.

427. Εἴασκεν) Proba Vox, & *Homero* non ſemel uſurpata, ſi verè ſcribitur; nam ex *Analogiâ* vox, εἴασκεν magis regularitèr formari videtur; ut *Iliad.* ε'. v. 802. εἴασκον, *Primâ* Perſonâ ſingulari.

436. Εἰς ἓ καλεσσάμενος, ἔπεα) *Ultima* Ε καλεσσάμενος, producitur in *Cæſurâ*, vi *Finalis*, necnon ob *Inciſum*, & *Acutum* ſequentem.

437. Ἄνωχθε) Pro ἀνώχθητε, quod pro ἀνωγήτην, ab ἀνώγημι, pro ἀνωγέω, & ἀνώγω, niſi ab *Aoriſt.* α'. ἠνώχθην, undè *Imperativo*, ἀνώχθω, & ἀνώχθητι, in *Plurali*. Ità infrà, v. 483. Ἄνωχθι, pro ἀνώχθω, vel ἀνώγηθι, κ'. enim & γ'. ante *Aſperum*, in χ'. vertuntur. Vid. *Etymolog. M.* v. Ἄνωχθι.

440. Αὐτὰρ ἐπὴν δὴ πάντα δόμον καθακοσμήσησθε) An potius ſcribendum, πάντα, δόμον κάτα, ut ſit, Non, *omnem Domum*, ſed, *Omnia per domum*? Aliud tamen ſuadeat Verſus 457. ubi πᾶν μέγαρον διακοσμήσασθε, videtur Geminum πᾶν, πάντα δόμον καθακοσμήσησθε. Quare nihil muto.

445. Μίσγοντό τε λάθρῃ) *Henricus Stephanus*, ait, " *Homerum* hìc ſcripſiſſe μίσγοντ' ἐν λάθρῃ, in ani- " mum inducere nequeo, ut videlicet dixerit μίσγο-

VARIÆ LECTIONES.

427. Σημαίνειν) γρ. σημαίειν. *Ibid.* Εἴασκεν) γρ. εἴασσεν, vid. ad *Textum*.
436. Εἰς ἓ) γρ. εἰς ἑ. Vid. ad *Iliad.* ψ'. v. 203.
440. Δόμον καθακοσμήσησθε) γρ. δόμον κάτα κοσμήσησθε.
443. Πασέων) γρ. πασῶν, olim; minimè Ὁμηρικῶς.
444. Ἐξαφέλοισθε) γρ. ἐξαφέλησθε, *Hen. Steph.* *Ibid.* Ἐκλελάθοιτ') γρ. ἐκλελάθωντ', conſequenter.
445. Μίσγοντό τε λάθρῃ) γρ. μίσγοντ' ὅτε λάθρῃ, vid. Not. in *Textum*.

Ὣς.

Ὣς ἔφαθ'. αἱ δ' ἁθρόαι γυναῖκες ἀολλέες ἦλθον ἅπασαι,
Ἀΐν' ὀλοφυρόμεναι, θαλερὸν χυτὸν δάκρυ χέουσαι.
Πρῶτα μὲν ἐν νέκυας φόρεον καταθνητῶν ἐόντας,
Καὶ δ' ἄρ' ὑπ' αἰθούσῃ πίθεσαν θυερὲς αὐλῆς,
Ἀλλήλῃσιν ἐρείδουσαι· σήμαινε δ' Ὀδυσσεὺς
Αὐτὸς ἐπισπέρχων· ταὶ δ' ἐκφόρεον ἠ ἀνάγκη.
Αὐτὰρ ἔπειτα θρόνους ἀργιλλέας, ἠδὲ τραπέζας,
Ὕδατι καὶ σπόγγοισι πολυτρήτοισι κάθαιρον.
Αὐτὰρ Τηλέμαχος, καὶ βουκόλος, ἠδὲ συβώτης,
Λίθροισιν δάπεδον πύκα ποιητοῖο δόμοιο
Ξέσσαν· ταὶ δ' ἐφόρεον δμῳαί, πίθεσαν δὲ θύραζε.
Αὐτὰρ ἐπειδὴ πᾶν μέγαρον διεκοσμήσαντο,
Δμῳὰς ἐξαγαγόντες ἐϋστάθεος μεγάροιο,
Μεσσηγύς τε θόλου, καὶ ἀμύμονος ἕρκεος αὐλῆς,
Εἶλεον ἐν στείνῃ, ὄφρα οὔπως ἦεν ἀλύξαι·
Τοῖσι δὲ Τηλέμαχος πεπνυμένος ἦρχ' ἀγορεύειν,
Μὴ μὲν δὴ καθαρῷ θανάτῳ ἀπὸ θυμὸν ἑλοίμην
Τάων, αἵ δὴ ἐμῇ κεφαλῇ κατ' ὀνείδεα χεῦαν,
Μητέρι θ' ἡμετέρῃ, καὶ τε μνηστῆρσιν ἴαυον.
Ὣς ἄρ' ἔφη· καὶ πεῖσμα νεὼς κυανοπρῴροιο
Κίονος ἐξάψας μεγάλης, περίβαλλε θόλοιο,
Ὑψόσ' ἐπεντανύσας, μήπις ποσὶν ἔδας ἵκῃ.
Ὣς δ' ὅτ' ἂν ἢ κίχλαι πανυσίπτεροι, ἠὲ πέλειαι,

Sic dixit; & mulieres congregatæ venerunt omnes,
Gravitèr lugentes; teneram lacrymam defundentes.
Primùm quidem igitur mortuos portaverunt interfectos;
Sub porticu verò depoſuerunt benè-ſeptæ aulæ,
Ad-invicem innitentes: imperavit autem Ulyſſes
Ipſe adurgens: atque illæ exportabant neceſſitas, id eſt, *vi*.
Tum demùm thronos pulchros, & menſas,
Aquâ & ſpongiis multis-foraminibus purgârunt.
At Telemachus, & bubulcus & ſubulcus
Scopis pavimentum affabrè factæ domûs
Verrabant; exportaverunt verò famulæ, poſueruntque foris.
At poſtquam omnem domum ornaverunt,
Famulas eductas è fabrefactâ domo,
Inter tholum & laudatum ſeptum aulæ,
Loco concluſerunt in anguſto, unde nullo modo erat fugere.
His itaque Telemachus prudens incepit dicere.
" Non quidem jam purâ morte animum auferam
" Harum, quæ dudum meo capiti opprobria fuderunt,
" Matrique meæ, apudque procos dormiebant.

Sic dixit, & funem navis nigræ
Ex columnâ ſuſpenſum magnâ, circumjecit tholo,
Altè extenſum, néqua pedibus terram tangeret.
Sicut autem quando vel turdellæ pandis-alis, vel columbæ,

Σχολια.

450. Ἐρειδόμεναι.] Ἐπιθεῖσαι.
455. Λίθροισι.] Τοῖς ξυσταῖς, ἀπὸ τοῦ Ξ. *λειαίνειν.
460. Εἶλεον.] Ἀπέκλειον. Στείνῃ.] Στενῷ πόρῳ.

Notæ.

" Θαν' Ἀφροδίτῃ, aut ἀνακαλύπτῳ planè oratione " uſus ſit; ſed potiùs μίσγεσθ' ὅτε λάθρῃ ſcriptum " reliquiſſe. Quæ Lectio illorum incommodorum " eſt expers. Hæc ille.

456. Ξῦον· ταὶ δ' ἐφόρεον δμῳαί) Si ſcribitur per ἐφόρεον, per σωίζειν *Metiendum*; quaſi ἐφόρεόν eſſet. *Euſtathius* tamen ἔφορεον habet. Vid. ad δ'. v. 550. & v. 560.

462. Μὴ μὲν δὴ καθαρῷ θανάτῳ) Quòd ſuſpendio perire *Mors impura*, & proindè ignominioſa ſit ſemper habita, vid. ſuprà, ad α'. v. 358.

Notæ in Scholia.

455. *Λειαίνειν) Ità pro λιαίνειν, lego.

Variæ Lectiones.

450. Ἀλλήλῃσιν) γρ. ἀλλήλοισιν, ſi de *Mortuis*: ἀλλήλῃσι, ſi de *Famulabus*.
451. Ἐπισπέρχων) γρ. ἐπισπίχων, *H. Steph.*
456. Ἐφόρεον) γρ. ἐφόρεόν, & ἔφορεον, vid. Not. in *Textum*.
466. Κίονος ἐξάψας) γρ. κίονος ἐξ ἄψας.

Ἕρκ[ος]

Ἕρκεϊ ἐπιπλήξωσι, τό, θ' ἑσπέτε σὺν θάμνῳ,
Αὖλιν ἐσιέμεναι, συγερὸς δ' ὑπεδέξατο κοίτῳ.
Ὡς αἴγ' ἐξείης κεφαλὰς ἔχον, ἀμφὶ δὲ πάσαις
Δειρῇσιν βρόχοι ἦσαν, ὅπως οἰκλίσα θάνοιεν.
Ἤσαιεν δὲ πόδεσσι μίνυνθά περ, οὐδὲ μάλα δήν.
Ἐκ δὲ Μελάνθιον ἦγεν ἀνὰ προθυρόν τε καὶ αὐλήν.
Τοῦ δ' ἀπὸ μὲν ῥῖνάς τε, καὶ οὔατα νηλέϊ χαλκῷ
Τάμνον· μήδεά τ' ἐξέρυσαν, κυσὶν ὠμὰ δάσασθαι,
Χεῖράς τ', ἠδὲ πόδας κόπτον, κεκολητότι θυμῷ.
Οἱ μὲν ἔπειτ' ἀπονιψάμενοι χεῖράς τε, πόδας τε,
Εἰς Ὀδυσῆα δόμονδε κίον· τετέλεστο δὲ ἔργον.
Αὐτὰρ ὅγε πρωτόειπε Φίλην τροφὸν Εὐρύκλειαν,
Οἶσε θέειον, γρηῢ, κακῶν ἄκος, οἶσε δέ μοι πῦρ,
Ὄφρα θεειώσω μέγαρον· σὺ δὲ Πηνελόπειαν
Ἐλθεῖν σῇσιν ἄνωχθι, σὺν ἀμφιπόλοισι γυναιξίν·
Πάσας δ' ὅσσαι ἔασιν ἀνὰ δόμον εἰρεσιώνας.
Τόνδε αὖτε προσέειπε Φίλη τροφὸς Εὐρύκλεια,
Ναὶ δὴ ταῦτά γε, τέκνον ἐμόν, κατὰ μοῖραν ἔφης.
Ἀλλ' ἄγε τοι χλαῖνάν τε, χιτῶνά τε, εἵματ' ἐνείκω·
Μὴ δ' οὕτω ῥάκεσιν πεπυκασμένος εὐρέας ὤμους
Ἕσσαι μεγάρῳσι· νεμεσσητὸν δέ κεν εἴη.

In septo sese conquassant, quod fiat in fruticeto,
Retis velati castra intrantes, odiosum autem eas susceperit cubile:
Sic hæ ordinatim capita habebant, circumque omnibus
In collis laquei erant, ut miserrimè morerentur.
Tremebant itaque pedibus paululum, non valde diu:
Educunt tandem Melanthium in vestibulumque & aulam:
Hujus quidem nareſque, & aures sævo ære
Abscideruntque genitaliaque extraxerunt canibus cruda comedenda,
Manusque, & pedes amputârunt, excandescenti animo.
Hi quidem postea abluti manusque, pedesque,
Ad Ulyssem in domum *nimirum* iverunt; perfectum est autem opus.
At hic allocutus est dilectam nutricem Eurycleam,
" Porta sulfur, anus, malorum medelam, porta etiam mihi ignem,
" Ut fumigem domum; tu verò Penelopem
" Venire huc jube, cum ancillis mulieribus:
" Omnes autem impelle famulas per domum, ut *hæc* veniant.
Hunc rursus allocuta est dilecta nutrix Eurycleia,
" Certè jam hæc, fili mi, congruenter dixisti.
" Sed agè chlænamque, tunicamque, vestimenta portabo:
" Neque tu isthoc modo vestibus laceris tectus latos humeros
Sta in domibus; improbandum utique id fuerit.

ΣΧΟΛΙΑ.

469. Ἕρκεϊ.] Νῦν, τῷ δικτύῳ. Θάμνῳ.] Δασεῖ φυτῷ.
470. Αὖλιν.] Κοίτην.
481. Θέειον.] Θεῖον. Ἄκος.] Ἴαμα.
482. Θεειώσω.] Καθαρῶ.

NOTÆ.

474. Ἐκ δὲ Μελάνθιον ἦγεν, — Τοῦδ' ἀπὸ μὲν ῥῖνάς τε, καὶ οὔατα) Hæc finis *Melanthii*, perfidi istius & nequissimi Caprarii; cujus dehinc apud Rusticos, in Proverbium abiit Supplicium; undè explicatur illud *Theocrit.* Idyll. 5. v. 149. — ἀλλὰ γλυοίμαν, Αἰ μὴ τὸ φλάσαιμι, Μελάνθιον, ἀντὶ Κομάτα. *Comatas* imprecatur sibi fatum hujus *Melanthii*, ut rem acerbissimam, si promissis non steterit. *Scholiastes*, Ἀλλ' εἰ μή σε θλάσω, γλυοίμαν, ἀντὶ Κομάτα, Μελάνθιον· καὶ καλοσθείλω, ὥστε ἐκεῖνον ὑπὸ Εὐμαίου καὶ Φιλοιτίου, ἐγὼ, ἐν τοῖς Ὀδυσσέως οἴκοις. Vid. & *Dan. Heinsii*, Lection. *Theocrit.* c. x. in ipso fine. Ex hoc loco ἀκρωτηριασμὸς, quid sit, satis apparet.

481. Οἶσε θέειον, γρηῢ, κακῶν ἄκος· οἶσε δέ μοι πῦρ, Ὄφρα θεειώσω μέγαρον) Hinc *Theocrit.* Idyll. 24. v. 94. Καθαρεῷ δὲ πυρώσαι δῶμα θείῳ. *Plinius*, " *Sulphur* habet & in Religionibus locum, ad " expiandas suffitu domos. Vid. *Joh. Meursii* spicilegium *Theocrit.* p. 143. De Voce οἶσε, vid. suprà, ad v. 106.

VARIÆ LECTIONES.

469. Τό, θ') γρ. πῷ θ', olim, malè. *Ibid.* Ἑσπέτε) γρ. εἰσπέτε, ut sæpe aliàs.
470. Αὖλιν ἐσιέμεναι) γρ. αὖλιν ἐς ἰέρβην.
479. Δόμονδε κίον) γρ. δόμονδ' ἔκιον.
486. Ἔεισε) γρ. ἔεισας, ut *Iliad.* γ'. v. 204.
489. Ἔσταθ' ὑπὸ μεγάροις) γρ ἴστατ' ἐν μεγάροις. & ἴστατ' ἐν μεγάροισι.

Τὼς δ'

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Πῦρ νῦν μοι πρώτιστον ἐνὶ μεγάροισι γενέσθω.
Ὣς ἔφαθ'· ἣ δ' ἀπίθησε φίλη τροφὸς Εὐρύκλεια,
Ἤνεγκεν δ' ἄρα πῦρ καὶ θήϊον· αὐτὰρ Ὀδυσσεὺς
Εὖ διεθείωσεν μέγαρον, καὶ δῶμα, καὶ αὐλήν.
Γρηὺς δ' αὖτ' ἀνέβη καλὰ δώματα κάλ' Ὀδυσῆος,
Ἀγγελέουσα γυναιξὶ, καὶ ὀτρυνέουσα νέεσθαι·
Αἱ δ' ἴσαν ἐκ μεγάροιο, δαΐδας μὲν χερσὶν ἔχουσαι.
Αἱ μὲν ἄρ' ἀμφεχέοντο, καὶ ἡσπάζοντ' Ὀδυσῆα,
Καὶ κύνεον ῥ' ἀγαπαζόμεναι κεφαλήν τε, καὶ ὤμους,
Χεῖράς τ' αἰνύμεναι· τὴν δὲ γλυκὺς ἵμερος ᾕρει
Κλαυθμῶ καὶ γοερῆς· γίνωσκε δ' ἄρα φρεσὶ πάσας.

Hanc rursus alloquutus est prudens Ulysses,
Ignis nunc mihi primum in domibus fiat.
Sic dixit: neque non obedivit dilecta nutrix Eurycles,
Portavit igitur ignem & sulphur; at Ulysses
Benè purificavit cœnaculum, & domum, & aulam.
Anus verò rursus ascendit per domos pulchras Ulyssis,
Nunciatura mulieribus, & incitatura, ut venirent:
Hæ igitur iverunt ex domo tædas in manibus tenentes.
Hæ quidem circumfundebantur & salutabant Ulyssem,
Et osculabantur amplectentes caputque, & humeros,
Manusque capientes; hunc autem dulce desiderium cœpit
Fletûs & suspirii: novit verò mentibus omnes.

ΣΧΟΛΙΑ.

493. Θήϊον.] Θεῖον, ἄπυρον.
494. Διεθείωσεν.] Περιέγνισεν.
500. Αἰνύμεναι.] Ἐπιλαμβανόμεναι.

NOTÆ.

499. Καὶ κύνεον ἀγαπαζόμεναι) *Ultima* Ε κύνεον producitur, in *Cæsurâ*, vi *Finalis*, &c. In nonnullis tamen τὸ μα interseritur, ut fieri solet. Legi etiam poteſt, καί ῥ' ἐκύνεον, &c.

VARIÆ LECTIONES.

509. Γίνωσκε) γρ. γίγνωσκε.
499. Καὶ κύνεόν ῥ' ἀγαπαζόμεναι) γρ. καὶ κύνεον ἀγαπαζόμεναι. Vid. Not. in *Textum*.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Ψ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Ψ'.

Ἀναγνωρισμὸς Ὀδυσσέως πρὸς τὴν γυναῖκα, καὶ τὴν τῶν πλαίτης δηγημάτων ἀνακεφαλαίωσις, καὶ Ὀδυσσέως καὶ Τηλεμάχου μετὰ τῶν οἰκείων ἔξοδος.

Ἐπιγραφή.

Ὀδυσσέως πρὸς Πηνελόπης ἀναγνωρισμός.

Ἄλλως.

Τῇ δ' ἀναγνωρίζει πόσιν ἣν περὶ Πηνελόπεια. LIB. XXIII.

Γρηὺς δ' εἰς ὑπερῷ' ἀνεβήσατο καγχαλόωσα,
Δεσποίνῃ ἐρέουσα φίλον πόσιν ἔνδον ἐόντα·
Γνάθω δ' ἐρράσατο, πόδες δ' ὑπερικταίνοντο·
Στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν,
Ἔγρεο, Πηνελόπεια, φίλον τέκος, ὄφρα ἴδηαι
Ὀφθαλμοῖσι τεοῖσι, τά τ' ἔλδεαι ἤματα πάντα·
Ἦλθ' Ὀδυσεὺς, καὶ οἶκον ἱκάνεται, ὀψέ περ ἐλθών.

ANus verò in cœnacula ascendit exultabunda,
Heræ dictura dilectum maritum intùs existentem:
Genua autem firmitèr movebantur, pedesque subsultabant præ gaudio.
Stetit itaque super capite, & ipsi verbum dixit,
" Surge, Penelope, dilecta filia; ut videas
" Oculis tuis, quæ cupiebas dies omnes:
" Venit Ulysses, & domum advenit, serò licet redux.

Σχολια.

3. *Ἐρρώσατο.] Ἐρρωμένως ἐπερεύσατο. *Ὑπερικταίνοντο.] Αἰσταρχος, ἀντιπάλλονται καὶ σαίνονται, ἐπιθυμητικῶς αὐτῆς βαδίζειν παχέως, μὴ δυναμένης ἧ, ἀλλὰ καὶ βραχύ. Διὰ τὸ γῆρας· οἱ δὲ, ὑπερεξετείνοντο, ἄμετρον δηθὺν σαίνεσθαι, παρὰ τὸ ἴκταρ, ὅ ἐστιν, ἐγγύς· καὶ γὰρ ἐπεσείρετο. Γνάθω δ' ἐρράσατο· παχέως ἂν ὑπερεκτείνετο, ὅ ἐστι, παρεγίνοντο.

7. Ἱκάνει.] Παρατηρητέον.

Notæ.

V. 3. Πόδες δ' ὑπερικταίνοντο) *Etymolog.* M. v. Ὑπερικταίνοντο. Κράτης, τὸ ἄγαν ἰφάλλονται, ὑπερεκτείνοντο. Λυσανίας, ἐπὶ δὲ τρίμετρου φησὶ τιθέμενα· ἢ διασύρεται, ὥστε εἶναι, ὑπερεκτείνεται· ἢ ψιλᾶται· οἱ δὲ πόδες διϊκνοῦνται, διὰ τὴν χαρὰν, ὑπὲρ τὸ μέτρον τῶν δυνάμεως. *Hesych.* Ὑπερικταίνοντο) Ἐτέμνον. Hinc Corrige, & lege, Ὑπερεκταίνοντο. Vid. *Brevia Scholia* & ad *Var. Lect.*

Notæ in Scholia.

V. 3. *Ἐρρώσατο) Hoc *Scholion*, & sequens, ex *Aloysii Alemanni* MSto. Confer *Eustath.* fol. 798. lin. 18. & 824. lin. 3. ubi ῥώσατο, ἀντὶ τοῦ ἐρρωμένως κινδύνου. Vid. *Etymolog.* M. in Notis ad *Textum*, & *Hesych.* in v. ubi tamen malè, ὑπερικταίνοντο, ut etiam apud *Suidam.* Vid. ad *Var. Lect.*

Variæ Lectiones.

V. 1. Ἀνεβήσατο) γρ. ἀνεβήσετο, *Florentina, Aldina, Lovaniana Rescii.*

3. Ὑπερικταίνοντο) γρ. ὑπερικαίνοντο, vid. Not. in *Scholia*, & *Suidam*, v. Ἀκταίνειν.

Μνηστῆρας δ' ἔκτεινεν ἀγλαὸς, οἵτ' ἐὸν οἶκον
Κήδεσκον, ᾗ κλῆμαί τ' ἔδον, βιόωντό τε παῖδα.
Τλαῦδ' αὖτε προσέφη πεφνὼν πολύμητις Ὀδυσσεύς,
Μαῖα φίλη, μάργην σὲ θεοὶ θέσαν· οἵτε δύανται
Ἄφρονα ποιῆσαι, ᾗ ἐπίφρονά περ μάλ' ἐόντα,
Καί τε χαλιφρονέοντ' ἀγαοφροσύνης ἐπέδησαν·
Οἵ σέ περ ἔβλαψαν· περὶ δ' φρένας αἰσίμη ἦσθα.
Τίπτε μὲ λωβεύεις, πολυπενθέα θυμὸν ἔχουσαν,
Ταῦτα παρὲξ εἰρέσθαι; ᾗ ἐξ ὕπνου μ' ἀνεγείρεις
Ἠδέος, ὅς μ' ἐπέδησε, φίλα βλέφαρ' ἀμφικαλύψας;
Οὐ γάρ πω τοιόνδε κατέδραθον, ἐξ ὅ' Ὀδυσσεὺς
Ὤιχετ' ἐποψόμενος κακοίλιον οὐκ ὀνομαστήν.
Ἀλλ' ἄγε νῦν κατάβηθι, ᾗ ἀψ ἔρχευ μεγαρόνδε·
Εἰ γάρ τις μ' ἄλλη γε γυναικῶν, αἵ μοι ἔασι,
Ταῦτ' ἐλθοῦσ' ἤγγειλε, ᾗ ἐξ ὕπνου μ' ἀνέγειρε,

" Procos etiam interfecit superbos,
" qui suam domum
" Contristabant, & res comedebant,
" violabantque filium.
Hanc rursus allocuta est prudens Penelope,
" Nutrix dilecta, insanam te Dei fecerunt, qui possunt
" Insipientem facere *eum*, qui vel prudentissimus fuerit,
" Et vel mentis impotem ad sapientiam extulerunt;
" Qui te etiam læserunt; quum antè mente convenientèr-instructa eras.
" Cur me irrides perdolentem animum habentem,
" Hæc præter *verum* dicens? & ex somno suscitas
" Dulci; qui me ligavit, dilectas palpebras complectens?
" Non enim tam suavitèr dormivi, ex quo Ulysses
Ivit visurus malum Ilium non nominandum.
" Sed agè nunc descende, & retrò vade in domum:
" Si enim aliqua me alia mulierum, quæ mihi sunt,
" Hæc veniens nunciâsset, & ex somno excitâsset,

Σ Χ Ο Λ Ι Α.

9. Κήδεσκον.] Ἐκάκιον, * ἔβλαπτον. Βιόωντο.] Ἐβιάζοντο.

11. Μάργην.] Μανομβρίαν, ἀναίδητον, μεμηνυῖαν, ἐκφρονα.

13. Χαλιφρονέοντ'.] Κεχαλασμένας ἔχοντα τὰς φρένας· ἀλιθιον, μωλωβόφρονα.

14. Αἰσίμη.] * Καθήκουσα· † καθηκόντως δὲ τὰς φρένας ἔχουσα· ὅ ἐστι, φρένας καθήκουσα.

15. Λωβεύεις.] Χλευάζεις, εἰς λώβην καὶ ὕβριν ἄγεις. Πολυπενθέα.] Πολλῶν πενθῶν καὶ λυπῶν πεπληρωμένον.

16. Παρὲξ εἰρέσθαι.] Παρὰ τὸ δίον λέγουσα.

N O T Æ.

11. Μαῖα φίλη, μάργην σὲ θεοὶ θέσαν) Hunc locum meritò suspicit *Meric. Casaubon* §. 2. super loco *Homerico*, conferens cum loco *Jobi*, c. 15. & 13. & *Isaiæ*, c. 44. v. 25. ex illorum saltem alterutro sumptisse *Homerum* suspicatus. Certè ex *Jobo* potuit, inquit *Duportus*, ex *Isaiâ* non potuit: quomodò enim? Cum *Esaias* vixerit temporibus *Hezekiæ*, *Homerus* autem *Salomoni* fuerit σύγχρονος, si *Cyrillo Alexandrino*, *Cedrēno* (addo ego, *Johanni Malelæ*) aliisque credimus.

19. Κακοίλιον) *Homero* ferè propria hæc Ars, eleganti Compositione *Epitheton* pensare; ut κακοίλιον, ἀντὶ τοῦ, κακὸν Ἴλιον· Ἱερὸν, ἀιρὸν, *Odyss σ'*. v. 72. *Iliad. γ'*. v. 39. Δύσαεα. Ità in *Appellativis*, ut μήτηρ δυσμήτηρ. Unde alii Auctores, in *Propriis* & *Appellativis*, ut Αἰόπαρις, *Euripid.* Hecub. v. 945. Ità *Alcman*, Δύσαρις, αἰνόπαρις, κακὸν Ἑλλάδι βωλαιείην. Hinc *Sophoclis* ἀδῶρα δῶρα. Hinc *Euripidis*, γάμους ἄγαμους, & Νύμφην ἄνυμφον, παρθένον τ' ἀπάρθενον. Vid. quæ Nos ad *Euripid.* Medeæ, v. 618. & *Conrad. Rittershus.* ad *Oppiani* Cynegetic. l. 1. v. 260. ubi plura ex pluribus.

20. Ἔρχευ) Ità, pro ἔρχου, scribendum: ut ad *Iliad. ω'*. v. 290. Aliàs ἴρχεο, ut & ibi; & sic *Scribi* quidem potest, ut hic in *Aldinâ*, *Lovaniana Rescii*, & *Florentinâ*; at verò debet *Legi*, tanquam ἴρχεο *Scriberetur*. Ità infrà, v. 52. & 78. & *Iliad. τ'*. v. 381. Ἔπευ.

NOTÆ IN SCHOLIA.

9. *Ἔβλαπτον) Ex *Eustath.* fol. 799. lin. 8. MS. *Aloysii*. Explicatio sequens, † καθηκόντως &c. aliunde. Vid. *Etymolog.* M. v. Αἴσιμον.

14. Αἰσίμη) * Καθήκουσα. Ità, pro καθήκουσα, ex

Variæ Lectiones.

8. Οἵτ' ἐὸν οἶκον) γρ. οἵ τί οἱ οἶκον, *Eustath.* fol. 799. lin. 8.

14. Οἵ σ' ὣς ἔβλαψαν) γρ. οἵ σε παρέβλαψαν, *H. Steph.*

16. Παρὲξ εἰρέσθαι) γρ. παρεξερέσθαι, *H. Steph.* & παρὲξ ἐρέσθαι.

20. Ἔρχευ) γρ. ἔρχου. vid. Not. in *Textum*, & infrà, ad v. 52. & 59.

Tf

Τῷ κε τάχα συγερῶς μιν ἐγὼν ἀπέπεμψα νέεσθαι
Αὖτις ἔσω μεγάρων· σὲ δ' τοῦτό γε γῆρας ὀνήσει.
Τλῶ δ' αὖτε προσέειπε Φίλη τροφὸς Εὐρύκλεια,
Οὔτι σὲ λωβεύω, τέκνον φίλον· ἀλλ' ἔτυμόν τοι
Ἦλθ' Ὀδυσεύς, ᾗ οἶκον ἱκάνει, ὡς ἀγορεύω,
Ὁ ξεῖνος, τὸν πάντες ἀτίμων ἐν μεγάροισι·
Τηλέμαχος δ' ἄρα μίν πάλαι ἤδεν ἔνδον ἐόντα,
Ἀλλὰ σαοφροσύνῃσι νοήματα πατρὸς ἔκυθεν,
Ὄφρ' ἀνδρῶν ὑπάλιτο βίλιν ὑβριμοεργῶν.
Ὣς ἔφαθ'· ἡ δ' ἐχάρη, ᾗ δὲπὸ λέκτροιο θοροῦσα
Γρηῒ προσπλέχθη, βλεφάρων δ' ἄπο δάκρυον ἧκε·
Καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα,
Εἰ δ' ἄγε δή μοι, μαῖα φίλη, νημερτὲς ἔνισπε,
Εἰ ἐτεὸν δὴ οἶκον ἱκάνει, ὡς ἀγορεύεις,
Ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφῆκε,
Μοῦνος ἐών, οἱ δ' αἰὲν ἀολλέες ἔνδον ἔμιμνον.
Τλῶ δ' αὖτε προσέειπε Φίλη τροφὸς Εὐρύκλεια,
Οὐκ ἴδον, ᾗ πυθόμην, ἀλλὰ στόνον οἷον ἄκουσα
Κτεινομένων· ἡμεῖς δ' μυχῷ θαλάμων εὐπήκτων

" Ideò citò miserabiliter ipsam ego remisissem ire
" Rursus intra domos: te verò ob hoc senectus tua juvabit.
Hanc rursus allocuta est dilecta nutrix Eurycléa,
" Non te irrideo, filia dilecta: sed verè tibi
" Venit Ulysses, & ad domum pervenit, sicut dico;
" *Ille* nempè hospes; quem omnes inhonorabant in ædibus:
" Telemachus verò illum jamdiu cognovit intus existentem;
" Verùm prudenter cogitationes patris occultabat;
" Ut virorum puniret violentias superborum.
Sic dixit; hæc itaque lætata est, & à lecto prorumpens
Anum circumplexa est, & à palpebris lacrymam misit;
Et ipsam appellans verba velocia allocuta est,
" Eia age jam mihi, nutrix dilecta, verum dic,
" Si verè jam domum venit, ut dicis,
" Quomodo utique procis impudentibus manus immisit,
" Solus nimirum; hi verò semper conferti intus manebant?
Hanc rursus allocuta est dilecta nutrix Eurycléa,
" Non vidi, non quæsivi; verum gemitum solum audivi
" Interfectorum: nos verò in secessu thalamorum bene-factorum

Σ Χ Ο Λ Ι Α.

23. Ἀπέπεμψα.] Ἀπεδίωξα.

24. Σὲ δ' τοῦτό γε γῆρας ὀνήσει.] Τὸ μὲν μοῦ ὑβρίσας ἀπέπεμφθῆναι· ἢ οἶον, εἰ ἐκ τῶν ἄλλα σοὶ βαρὺ ἦν, τοῦτό γε ὀνήσει.

26. Λωβεύω] Ὑβρίζω. Ἔτυμον.] Ἀληθῆ.

28. Ὁ ξεῖνος.] Σπουδαῖον μὴ τοῦτο· ἰδιωτικῶς δ', ὁ ξένος ἐστὶν, ὁ Ὀδυσσεύς.

N O T Æ.

24. Σὲ δ' τοῦτ' γε γῆρας ὀνήσει) Condono hoc tuæ Senectæ.

25. Τλῶ δ' αὖτε προσέειπε) Rectè in Vetustis & Optimis *Exemplaribus*, Τλῶ legitur: verùm quùm in *Henrici Stephani* Editione τ scribi fortè contigit, illam *Lectionem* cæci sequuntur *Castellio*, *Spondanus*, *Elzevirius*, aliique non pauci, excepto *Oxoniensi* Editore; qui tutus in hâc parte. Quamvis & ipsi, qui *Errorem hunc errant*, per *hanc* tamen omnes exponant: & certo certius *Nutrix Penelopen* alloquitur. Quare nihil in *Erroribus* magis perniciosum, quam magna Exempla. Vid. suprà ad τ'. v. 261. & infrà, ad v. 32.

32. Ὡς ἔφαθ'· ἡ δ' ἐχάρη) Ut æstimemus, quanto cum nostro periculo, Magnos Viros temerè sequamur, hic iterum Notandum; quòd cùm casu in *Henrici Stephani* Editione, ὡς, ἔφαθ'· ἡ δ' ἐχάρη legeretur, cum *Tenui* nempè ante *Asperum*, hinc *Castellio*, *Spondanus*, *Elzevirius*, *Cantabrigiensis*, & *Oxoniensis* etiam, Omnes simul eundem errant Errorem, auctoritate nempe Magni Nominis decepti; cùm non tantùm Regula contrà militet, verùm etiam omnium Vetustissima Editio, *Florentina*, item *Romana*, & *Basileensis*, *Eustathii*, *Aldina*, *Lovaniana Rescii*, *Hervagiana*, Omnes *Henrico Stephano* priores, ἔφαθ' legant, ut Nos nunc scribimus, *Nullius unquam Hominis jurare in verba parati.*

Variæ Lectiones.

24. Ἔσω μεγάρων) γρ. ἔσω μέγαρον, *Eustath.* fol. 799. lin. 18. & *H. Steph. Ibid.* Τοῦτ' γε γῆρας) γρ. τοῦτό γε, γῆρας, *H. Steph.*

25. Τλῶ δ') γρ. τλῶδ', male. Vid. Not. in *Textum.*

32. Ὡς ἔφαθ'· ἡ δ' ἐχάρη) γρ. ὡς ἔφατ', &c. vid. Not. in *Textum.*

40. Ἄκουσα) γρ. ἄκουσα, *H. Steph.*

Ἤμεθ' ἀτυζόμεναι, σανίδες δ' ἔχον εὖ ἀραρυῖαι·
Πεύ γ' ὅτε δή με σὸς υἱὸς ἀπὸ μεγάροιο κάλεστε
Τηλέμαχος· τὸν γάρ ῥα πατὴρ ὤρσεν καλέσασθαι.
Εὗρον ἔπειτ' Ὀδυσῆα μετὰ κλαμθμοῖς νεκύεσσιν
Ἑσταότ'· οἱ δέ μιν ἀμφὶ κραταίπεδον ἕδας ἔχοντες,
Κεῖατ' ἐπ' ἀλλήλοισιν· ἰδοῦσά κε θυμὸν * ἰανθῇς,
Αἵματι καὶ λύθρῳ πεπαλασμένον, ὥστε λέοντα.
Νῦν οἱ μὲν δὴ πάντες ἐπ' αὐλείῃσι θύρῃσιν
Ἀθρόοι· αὐτὰρ ὁ δῶμα θεειοῦται περικαλλὲς,
Πῦρ μέγα κηάμενος· σὲ δέ με προέηκε καλέσσαι.
Ἀλλ' ἕπευ, ὄφρα σφῶϊν εὐφροσύνης ἐπιδῆτον
Ἀμφοτέρω φίλον ἦτορ· ἐπεὶ κακὰ πολλὰ πέποσθε.
Νῦν δ' ἤδη τόδε μακρὸν ἐέλδωρ ἐκτελέλεσται·
Ἦλθε μὲν αὐτὸς ζωὸς ἐφέσιος, οὖρε δ' ἑῷ κῆ σέ,
Καὶ παῖδ' ἐν μεγάροισι· κακῶς δ' οἵπερ μὲν ἔρεζον
Μνηστῆρες, τοὺς πάντας ἐπήσαλο ᾧ ἐνὶ οἴκῳ.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια,
Μαῖα φίλη, μή πω μέγ' ἐπεύχεο καγχαλόωσα·
Οἶσθα γάρ, ὥς κ' ἀσπασὸς ἐνὶ μεγάροισι φανείη
Πᾶσι, μάλιστα δ' ἐμοί τε, καὶ υἷϊ, τ' τεκόμεσθα·

" Sedebamus, perculsæ : fores verò claudebantur bene aptatæ :
" Antequam modò me tuus filius à domo vocaret
" Telemachus : hunc enim pater præmisit vocare.
" Inveni demùm Ulyssem inter occisa cadavera *Procoritm*
" Stantem ; illi verò circum illum stratum pavimentum occupantes,
" Jacebant *alii* super alios : Tu si conspexeris, animo recreareris,
" *Si, inqu. conspex.* sanguine & cruore tœdatum, veluti Leonem.
" Nunc hi quidem omnes in aularibus januis
" Conferti sunt : at hic domum fumigat perpulchram,
" Igni magno accenso : te verò me præmisit, accersere.
" Verùm sequere, ut vobismet lætitiam confequamini
" Ambo *vos* charo *in* corde ; postquam mala multa passi estis.
" Nunc tandem hoc longum desiderium perfectum est :
" Venit quidem ipse vivus domumsuam ; invenit autem & te,
" Et filium domi ; malè verò qui ei fecerant
" Proci, hos omnes punivit suâ in domo.
Hanc rursus allocuta est prudens Penelope,
" Nutrix dilecta, nequaquam valdè gloriare exultabunda :
" Scis enim, quòd gratus in domo appareret
" Omnibus, maximè verò mihique, & filio, quem genuimus :

Σ Χ Ο Λ Ι Α.

42. Ἀτυζόμεναι.] Ἐκπλαττόμεναι, παραφρόμεναι· ἀτύω, ὁ μέλλων ἀτύσω, καὶ καθ' παραγωγὴν, ἀτύζω, Αἰολικόν. Ἔχον.] Ἀντὶ ἔ, ἀσφαλισμέναι ἦσαν.

46. Κραταίπεδον * ἕδας.] * Τὸ λιθόστρωτον ἔδαφος.

50. Θεσπεσίῃ.] Περιαγιάζει, καθαίρει.

52. Εὐφροσυνῆς ἐπιδῆτον.] Θυμηδίας ἐπιβήσητε, * εὐφραινθῆναι πεισθῆτε. * Ἰτὰ, pro εὐφραθῆναι.

53. Πέποσθε.] Πεπόνθατε· Ἄλλως * Πεπόνησθε, καθ' συγκοπήν.

59. Μέγ' ἐπεύχεο.] Μεγαλαύχει.

60. Ἀσπασὸς.] Εὐκταῖος.

61. Τεκόμεσθα.] Ἐγεννήσαμεν.

N O T Æ.

45. Κλαμθμοῖς νεκύεσσι) Vid. suprà, ad χ'. v. 401. & ad *Varias Lectiones*.

47. Ἰανθῇς) Ità legendum pronuntio, pro ἰάνθῃς, quòd malè hactenùs hoc in loco obtinuit; ità certè *Iliad.* τ'. v. 174. Σὺ δ' φρεσὶ σῇσιν ἰανθῇς. Non est autem accipiendum, Quasi res tam miseranda & tristis, ulli bonæ Fœminæ, aut Viro, esset Lætitiæ causa; verùm quòd *Dei Justitia tam mirabiliter* vindicata, sit Omnium afflictorum & piorum hominum animis magna gaudii materia. Confer *Psalm.* 58. v. 10. 11. & quæ Nos ad *Euripid.* Herc. Fur. v. 757.

N O T Æ I N S C H O L I A.

46. Κραιπίπεδον * ἕδας) * Τὸ λιθόστρωτον ἔδαφος. Cùm ἕδας abesset, cujus συνώνυμον, aderat ἔδαφος, & * λιθόστρωτον, cui geminum esset κραιπίπεδον, ex *Etymolog.* M. v. lacunam supplevi. Olim enim hoc tantùm, Κρατιπίπεδον) Τὸ ἔδαφος, malè.

53. * Πεπόνησθε, &c.) Ex *Eustathio.*

V A R I Æ L E C T I O N E S.

45. Κταμένοις νεκύεσσι) γρ. κλαμένοισι νέκυσσι, vid. Not. in *Textum*.

47. Ἰανθῇς) γρ. ἰάνθῃς, vid. Not. in *Textum*.

51. Κηαλέῳ) γρ. κηάλῳ, *Seberus*.

52. Ἔπου) γρ. ἵπω, vid. suprà, ad v. 20. & infrà, ad v. 78.

56. Ἔρεζον) γρ. ἔρεξαν.

59. Ἐπεύχεο) γρ. ἐπεύχου, ut suprà, v. 20.

Ἀλλ'

Ἀλλ' οὐκ ἔσθ' ὅδε μῦθος ἐτήτυμος, ὡς ἀγορεύεις.
Ἀλλά τις ἀθανάτων κλῖνε μνηστῆρας ἀγαυούς,
Ὕβριν ἀγασσάμενος θυμαλγέα καὶ κακὰ ἔργα·
Οὔτινα γὰρ τίεσκον ὀπιχθονίων ἀνθρώπων,
Οὐ κακόν, οὐδὲ μὰν ἐσθλόν, ὅτις σφέας εἰσαφίκοιτο·
Τῷ δι' ἀτασθαλίας ἔπαθον κακόν· αὐτὰρ Ὀδυσῆος
Ὤλεσε τηλοῦ νόστον Ἀχαιΐδος, ὤλετο δ' αὐτός.
Τὴν δ' ἠμείβετ' ἔπειτα φίλη τροφὸς Εὐρύκλεια,
Τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;
Ἦ πόσιν ἔνδον ἐόντα παρ' ἑσχάρῃ, οὔποτ' ἔφησθα
Οἶκαδ' ἐλεύσεσθαι; θυμὸς δέ τοι αἰὲν ἄπιστος·
Ἀλλ' ἄγε τοι καὶ σῆμα περιφραδὲς ἄλλο τι εἴπω,
Οὐλὴν· τὴν ποτε μὶν σῦς ἤλασε λευκῷ ὀδόντι,
Τὴν ἀπονίζουσα φρασάμην· ἤθελον δέ σοι αὐτὴ
Εἰπέμεν· ἀλλά με κεῖνος ἐλὼν ἐπὶ μάστακα χερσὶν,
Οὐκ ἔα εἰπέμεναι, πολυϊδρείῃσι νόοιο.
Ἀλλ' ἕπευ· αὐτὰρ ἐγὼν ἐμέθεν θείδωσομαι αὐτῆς,
Αἴ κέν σ' ἐξαπάφω, κτεῖναί μ' οἰκτίστῳ ὀλέθρῳ.
Τὴν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια,
Μαῖα φίλη, χαλεπόν σε θεῶν αἰειγενετάων
Δηρόεα εἰρυσθαι, μάλα περ πολυΐδριν ἐοῦσαν·
Ἀλλ' ἔμπης ἴομεν μετὰ παῖδ' ἐμόν, ὄφρα ἴδωμαι
Ἀνδρας μνηστῆρας τεθνηότας, ἠδ' ὃς ἔπεφνεν.
Ὡς φαμένη, κατέβαιν' ὑπερῴια· πολλὰ δέ οἱ κῆρ
Ὥρμαιν', ἢ ἀπάνευθε φίλον πόσιν ἐξερεείνοι,

"Sed non est hæc res vera, sicut dicis:
"Verùm aliquis immortalium interfecit procos superbos,
"Injuriam ingnatus acerbam, & mala opera:
"Neminem enim honorabant terrestrium hominum,
"Non malum, neque quidem bonum, quicunque ad ipsos venisset:
"Ideò propter iniquitates passi sunt malum: at Ulysses
"Perdidit longè reditum à Græciâ, perditus & ipse est.
Huic deinde respondit dilecta nutrix Euryclea,
"Filia mea, quale verbum fugit septum dentium?
"Quæ maritum intùs foco assidentem, nunquam dicis
"Domum esse venturum? animus autem tibi semper incredulus.
"Sed age tibi & signum permanifestum aliud quoddam dicam,
"Cicatricem: quam quondam ipsi Aper impressit albo dente,
"Hanc dum-abluerem agnovi: volebam autem tibi ipsa
"Dicere; sed me ille compressis in os manibus,
"Non sivit dicere, prudentiis mentis.
"Sed sequere, *inquam*; at ego meipsam *tibi puniendam* tradam,
"Si te decepero; interfice me miserimâ morte.
Huic respondit statim prudens Penelope,
"Nutrix dilecta, difficile te Deorum immortalium
"Consilia investigare, licet multarum rerum sis perita:
"Veruntamen eamus ad filium; ut videam
"Viros procos interfectos, & *eum*, qui illos interfecit.
Sic loquuta, descendit è cœnaculo: multa verò ei cor
Meditabatur, an seorsim dilectum maritum interrogaret,

ΣΧΟΛΙΑ.

71. Ἐξάρῃ.] Ἔνθα τὸ πῦρ καίῃ, τόπος· ἢ ὃ βωμὸς ἱσόπεδος, οὐκ ὢν λίθων ὑψώματος.

78. Ἐμίθην.] Περὶ ἐμαυτῆς. Περιδώσομαι.

Σωθήσομαι, * ὑπὲρ ἐμαυτῆς.

82. * Εἰρυσσ.] Εἰδῶ.

86. Ἐξερεείνοι.] Ἀναχρίνειεν τὸ λόγῳ.

NOTÆ.

70. Τέκνον ἐμὸν) Vid. ad α'. v. 64. ubi idem Versus.

78. Ἐμίθην περιδώσομαι αὐτῆς) Ità *Iliad.* ψ'. v. 485. Διοῦρό νυν ἢ τελέσωσι περιδώμεθον, ἢ λίπωμεν. *Anglicè*, I'LL LAY MY LIFE, or ALL I'M WORTH.

NOTÆ IN SCHOLIA.

78. * Ὑπὲρ ἐμαυτῆς, Addo, ad *Sensum* declarandum.

82. * Εἰρυσσ) Εἰδῶ. Ex *Hesychio*, qui ad hæc Verba, *Homeri* locum laudat. Εἰρῦσσαι. MS. *Aloysian.*

VARIÆ LECTIONES.

74. Τὴν ποτε μὶν) γρ. τὴν ποτέ μιν, at μὶν, ut *Emphaticum*, *Acui* debet.

75. Σοὶ αὐτὴ) γρ. σοὶ αὐτῇ.

76. Ἀλλά με κεῖνος) γρ. ἀλλ' ἴμ' ἐκεῖνος.

78. Ἔπευ) γρ. ἕπω, ut suprà, v. 52. *Ibid.* Περιδώσομαι) γρ. περὶ δώσομαι.

82. Εἰρυσσ) γρ. εἰρῦσσ, & εἰρῦσσαι, ut infrà, v. 151.

Ἦ παρῳᾶσα κύσειε κάρη ᾧ χεῖρε λαβοῦσα.
Ἡ δ' ἐπεὶ εἰσῆλθεν ᾧ ὑπέρβη λάϊνον οὐδόν,
Ἕζετ' ἔπειθ' Ὀδυσῆος ἐναντίον ἐν πυρὸς αὐγῇ,
Τοίχῳ τῷ ἑτέρῳ· ὁ δ' ἄρα πρὸς κίονα μακρὴν
Ἧστο κάτω ὀρόων, πολιὸν δέμας, εἴ τι μιν εἴποι
Ἰφθίμη πωλοίκουρος, ἐπεὶ ἴδεν ὀφθαλμοῖσιν.
Ἡ δ' ἄνεω δηὰ ἧστο, τάφος δέ οἱ ἦτορ ἴκανεν.
Ὄψε δ' ἄλλοτε μὲν μιν ἐναντίβιον ἐσίδεσκεν,
Ἄλλοτε δ' ἀγνώσασκε, κακὰ χροῒ εἵματ' ἔχοντα.
Τηλέμαχος δ' ἐνένιπεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε,
Μῆτερ ἐμή, δύσμητερ, ἀπηνέα θυμὸν ἔχουσα,
Τίφθ' ὅτω πατρὸς νοσφίζεαι, οὐδὲ παρ' αὐτὸν
Ἕζομαι μύθοισιν ἀνείρεαι, οὐδὲ μεταλλᾷς;
Οὐ μὲν κ' ἄλλη γ' ὧδε γυνὴ τετληότι θυμῷ
Ἀνδρὸς ἀφεσταίη, ὅς οἱ κακὰ πολλὰ μογήσας
Ἔλθοι ἐεικοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν·
Σοὶ δ' αἰεὶ κραδίη στερεωτέρη ἐστὶ λίθοιο.
Τόνδ' αὖτε προσέειπε πολύφρων Πηνελόπεια,
Τέκνον ἐμόν, θυμός μοι ἐνὶ στήθεσσι τέθηπεν·
Οὐδέ τι προσφάμεν δυνάμαι ἔπος, οὐδ' ἐρέεσθαι,
Οὐδ' εἰς ὦπα ἰδέσθαι ἐναντίον· εἰ δ' ἐτεὸν δὴ
Ἔστ' Ὀδυσεύς, ᾧ οἶκον ἱκάνεις, ἢ μάλα νῶϊ
Γνώσομεθ' ἀλλήλων ᾧ λώϊον· ἔστι γὰρ ἡμῖν

An aſtans oſcularetur caput & manus arrepras.
Quum verò ingreſſa eſt & tranſivit lapideum limen,
Sedit demùm è regione Ulyſſis in ignis ſplendore,
Ad parietem alterum: hic autem ad columnam longam
Sedebat deorſum tuens, expectans, ſiquid ipſum alloqueretur
Proba uxor, poſtquam vidit oculis.
Hæc verò tacita diù ſedit, ſtuporque ei cor cepit.
Aſpectu quidem nunc ipſum perſpicuè notabat,
Nunc autem non agnoſcebat, mala corpori veſtimenta habentem.
Telemachus igitur increpuit eam, verbumq; dixit, denominavitque,
" Mater mea, miſera-mater, ſævum animum habens,
" Cur ſic à patre recedis? neque apud ipſum
" Sedens verbis interrogas; neque ſcrutaris?
" Non quidem alia ſic mulier toleranti animo
" A Viro ſeorſim ſederet, qui ei multa mala perpeſſus
" Veniſſet vigeſimo anno *in* patriam terram:
" Tibi verò ſemper cor durius eſt lapide.
Hunc rurſus alloquta eſt prudens Penelope,
" Fili mi, animus mihi in pectoribus ſtupefactus eſt,
" Nec adhuc dum proferre valeo verbum *ad eum*, neque interrogare,
" Neque in vultum videre contra; ſin verè jam
" Eſt Ulyſſes, & domum venit, certè valdè nos
" Cognoſcemus inter nos & melius; ſunt enim nobis

ΣΧΟΛΙΑ.

89. Ἐν πυρὸς αὐγῇ.] Ἐν τῷ πιφαυσκομένῳ τόπῳ ἐκ πιφλογισμένου λίθου ἢ πυρός.

94. Ἐνωπάδιος ἐσίδεσκεν.] Ἐναργῶς, ἀντικρὺς, *ἰφορεῶσα ἐγνώριζεν. *Περιεργότερον αὐτὸν κατιδοῦσα τοῖς ὀφθαλμοῖς.

95. Ἀγνώσασκε.] Ἠγνόει.

